PLATONAS

SOKRATO GYNIMASIS TEISME

KRITONAS

GRAIKIŠKAS IR LIETUVIŠKAS TEKSTAI

A. SMETONOS VERTIMAS

ŠVIETIMO MINISTERIJOS KNYGŲ LEIDIMO K-JOS LEIDINYS NR. 472

KAUNAS 1936

IŠSPAUSDINTA 400 EGZ. MARIJONŲ SPAUSTUVĖJE,
MARIJAMPOLĖJE.

ΑΠΟΛΟΓΙΑ ΣΩΚΡΑΤΟΥΣ

SOKRATO GYNIMASIS TEISME

ΑΠΟΛΟΓΙΑ ΣΩΚΡΑΤΟΥΣ

I. Ὅ τι μὲν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, πεπόνθατε ὑπὸ τῶν ἐμῶν κατηγόρων, οὐκ οἶδα· ἐγὼ δ' οὖν καὶ αὐτὸς ὑπ' αὐτῶν ὀλίγου ἐμαυτοῦ ἐπελαθόμην· οὕτω πιθανῶς ἔλεγον. καίτοι ἀληθές γε, ὡς ἔπος εἰπεῖν, οὐδὲν εἰρήκασιν. μάλιστα δὲ αὐτῶν ἓν ἐθαύμασα τῶν πολλῶν ὧν ἐψεύσαντο, τοῦτο, ἐν ᾧ ἔλεγον, ὡς χρὴ ὑμᾶς εὐλαβεῖσθαι, μὴ ὑπ' ἐμοῦ ἐξαπατηθῆτε, ὡς δεινοῦ ὄντος λέγειν. τὸ γὰρ μὴ αἰσχυνθῆναι, ὅτι αὐτίκα ὑπ' ἐμοῦ ἐξελεγχθήσονται ἔργῳ, ἐπειδὰν μηδ' ὁπωστιοῦν φαίνωμαι δεινὸς λέγειν, τοῦτό μοι ἔδοξεν αὐτῶν ἀναισχυντότατον εἶναι, εἰ μὴ ἄρα δεινὸν καλοῦσιν οὗτοι λέγειν τὸν τἀληθῆ λέγοντα· εἰ μὲν γὰρ τοῦτο λέγουσιν, ὁμολογοίην ἂν ἔγωγε, οὐ κατὰ τούτους εἶναι ῥήτωρ. οὗτοι μὲν οὖν, ὥσπερ ἐγὼ λέγω, ἤ τι ἢ οὐδὲν ἀληθὲς εἰρήκασιν· ὑμεῖς δ' ἐμοῦ ἀκούσεσθε πᾶσαν τὴν ἀλήθειαν. οὐ μέντοι μὰ Δία, ὦ ἄνδρες Ἀθηναῖοι, κεκαλλιεπημένους γε λόγους, ὥσπερ οἱ τούτων, ῥήμασί τε καὶ ὀνόμασιν οὐδὲ κεκοσμημένους, ἀλλ' ἀκούσεσθε εἰκῇ λεγόμενα τοῖς ἐπιτυχοῦσιν ὀνόμασιν — πιστεύω γὰρ δίκαια εἶναι, ἃ λέγω — καὶ μηδεὶς ὑμῶν προσ-

SOKRATO APOLOGIJA

I. Ką jūs, Atėnų vyrai, jaučiate, prisiklausę mano kaltintojų, — nežinau. Kai aš, tai nuo jų žodžių kone pamiršau, kas besąs: taip, mat, intikimai kalbėjo. Ir visdėlto tiesos jie, stačiai pasakius, nėra nei žodžio ištarę. Iš daugelio daiktų, kuriuos jie sumelavo, labiausiai nustebino mane vienas, būtent tas, kur sakė, jog reikią jums saugotis, kad nebūtute mano apgauti, nes aš, girdi, esąs gudrus kalbovas. Ir iš tiesų: jų nesusigėdimas, žinant, kad tuojau bus yskiai sugaudinti, paaiškėjus, jog aš visai nėsu toks gudrus kalbovas, — štai kas man pasimatė begėdiškiausia iš jų pusės. Galbūt jie vadina gudruoliu tą, kurs tiesą kalba? Jei tikrai taip mano, tai galėčiau prisižinti ir aš esąs kalbovas, tik ne jų padermės. Šiaip ar taip, jie — tai aš atkartoju — nei kiek nėra tiesos pasakę, o iš manęs jūs išgirsite visą tiesą. Bet, Dzeusas žino, vyrai atėniečiai, jūs išgirsite ne kalbą, gražiais posakiais išdailintą ir žodžiais išpuoštą, kaip štai jų kalbos, bet paprastą pranešimą, išdėtą pasitaikiusiais žodžiais. Mat, aš esu tikras, kad tai yra teisybė, ką sakau, ir niekas jūsų

δοκησάτω ἄλλως. οὐδὲ γὰρ ἂν δήπου πρέποι, ὦ ἄνδρες, τῇδε τῇ ἡλικίᾳ ὥσπερ μειρακίῳ πλάττοντι λόγους εἰς ὑμᾶς εἰσιέναι. καὶ μέντοι καὶ πάνυ ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο ὑμῶν δέομαι καὶ παρίεμαι· ἐὰν διὰ τῶν αὐτῶν λόγων ἀκούητέ μου ἀπολογουμένου, δι' ὧνπερ εἴωθα λέγειν καὶ ἐν ἀγορᾷ ἐπὶ τῶν τραπεζῶν, ἵνα ὑμῶν πολλοὶ ἀκηκόασι, καὶ ἄλλοθι, μήτε θαυμάζειν μήτε θορυβεῖν τούτου ἕνεκα. ἔχει γὰρ οὑτωσί. νῦν ἐγὼ πρῶτον ἐπὶ δικαστήριον ἀναβέβηκα, ἔτη γεγονὼς ἑβδομήκοντα· ἀτεχνῶς οὖν ξένως ἔχω τῆς ἐνθάδε λέξεως. ὥσπερ οὖν ἄν, εἰ τῷ ὄντι ξένος ἐτύγχανον ὤν, ξυνεγιγνώσκετε δήπου ἄν μοι, εἰ ἐν ἐκείνῃ τῇ φωνῇ τε καὶ τῷ τρόπῳ ἔλεγον, ἐν οἷσπερ ἐτεθράμμην, καὶ δὴ καὶ νῦν τοῦτο ὑμῶν δέομαι δίκαιον, ὥς γέ μοι δοκῶ, τὸν μὲν τρόπον τῆς λέξεως ἐᾶν — ἴσως μὲν γὰρ χείρων, ἴσως δὲ βελτίων ἂν εἴη — αὐτὸ δὲ τοῦτο σκοπεῖν καὶ τούτῳ τὸν νοῦν προσέχειν, εἰ δίκαια λέγω ἢ μή· δικαστοῦ μὲν γὰρ αὕτη ἀρετή, ῥήτορος δὲ τἀληθῆ λέγειν.

II. Πρῶτον μὲν οὖν δίκαιός εἰμι ἀπολογήσασθαι, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τὰ πρῶτά μου κατηγορημένα καὶ τοὺς πρώτους κατηγόρους, ἔπειτα δὲ πρὸς τὰ ὕστερα καὶ τοὺς ὑστέρους. ἐμοῦ γὰρ πολλοὶ κατήγοροι γεγόνασι πρὸς ὑμᾶς καὶ πάλαι πολλὰ ἤδη ἔτη καὶ οὐδὲν ἀληθὲς λέγοντες, οὓς ἐγὼ μᾶλλον φοβοῦμαι ἢ τοὺς ἀμφὶ Ἄνυτον, καίπερ ὄντας καὶ τούτους δεινούς· ἀλλ' ἐκεῖνοι δεινότεροι, ὦ ἄνδρες, οἳ ὑμῶν τοὺς πολλοὺς

tenelaukia iš manęs kito ko. Agi ir nepritiktų, vyrai, man, susilaukusiam tokio amžiaus, stoti prieš jus, kaip kokiam jaunikaičiui, prisigraibiusiam inmantrių posakių. Tad prašyte prašau jus, vyrai atėniečiai, vieno daikto: girdėdami mane ginantis tokiais pat žodžiais, kokiais esu pratęs kalbėti viešoje aikštėje prekinių stalų pašaliais, kur daugelis esate mane girdėję, ir kitur, nesistebėkite ir dėl to nekeltite triukšmo. Mat, taip yra: šiandien aš stoju prieš teismą pirmą kartą, susilaukęs septynių dešimtų metų, tad šios vietos kalba yra man svetima. Kad tikrai svetimos šalies žmogus būčiau, tai jūs, be abejo, atleistute man, jei kalbėčiau ta inprasta tarme, kuria išauklėtas. Tad ir dabar teisingai, kaip man regis, to jus prašau, būtent: leisti man kalbėti savo kalba, — vistiek, prastesnė ar geresnė ji būtų, o jums pravartu rūpestingai sekti ir dėmėtis, ar aš teisybę sakau, ar ne. Juk tokia yra teisėjo pareiga, o kalbėtojo — tiesą sakyti.

II. Pirma tenka man, vyrai atėniečiai, pasiteisinti dėl pirmesniųjų melagiškų kaltinimų, prieš mane sukeltų, ir dėl pirmesniųjų mano kaltintojų, o paskum — dėl paskesniųjų. Juk daug rados mano skundėjų, jau seniai, nuo daugelio metų jie indavinėja mane jums, nors nei vieno tiesos žodžio nepasako. Jų bijau aš daugiau, negu Anito ir jo sėbrų, nors ir šie yra pavojingi. Pavojingesni betgi anie, kurie dau-

ἐκ παίδων παραλαμβάνοντες ἔπειθόν τε καὶ κατηγόρουν ἐμοῦ, οὐδὲν ἀληθές, ὡς ἔστιν τις Σωκράτης, σοφὸς ἀνήρ, τά τε μετέωρα φροντιστὴς καὶ τὰ ὑπὸ γῆς ἅπαντα ἀνεζητηκὼς καὶ τὸν ἥττω λόγον κρείττω ποιῶν. οὗτοι, ὦ ἄνδρες Ἀθηναῖοι, οἱ ταύτην τὴν φήμην κατασκεδάσαντες, οἱ δεινοί εἰσίν μου κατήγοροι· οἱ γὰρ ἀκούοντες ἡγοῦνται τοὺς ταῦτα ζητοῦντας οὐδὲ θεοὺς νομίζειν. ἔπειτά εἰσιν οὗτοι οἱ κατήγοροι πολλοὶ καὶ πολὺν χρόνον ἤδη κατηγορηκότες, ἔτι δὲ καὶ ἐν ταύτῃ τῇ ἡλικίᾳ λέγοντες πρὸς ὑμᾶς, ἐν ᾗ ἂν μάλιστα ἐπιστεύσατε, παῖδες ὄντες, ἔνιοι δ' ὑμῶν καὶ μειράκια, ἀτεχνῶς ἐρήμην κατηγοροῦντες ἀπολογουμένου οὐδενός. ὃ δὲ πάντων ἀλογώτατον, ὅτι οὐδὲ τὰ ὀνόματα οἷόν τε αὐτῶν εἰδέναι καὶ εἰπεῖν, πλὴν εἴ τις κωμῳδιοποιὸς τυγχάνει ὤν. ὅσοι δὲ φθόνῳ καὶ διαβολῇ χρώμενοι ὑμᾶς ἀνέπειθον, οἱ δὲ καὶ αὐτοὶ πεπεισμένοι ἄλλους πείθοντες, οὗτοι πάντες ἀπορώτατοί εἰσιν· οὐδὲ γὰρ ἀναβιβάσασθαι οἷόν τ' ἐστὶν αὐτῶν ἐνταυθοῖ οὐδ' ἐλέγξαι οὐδένα, ἀλλ' ἀνάγκη ἀτεχνῶς ὥσπερ σκιαμαχεῖν ἀπολογούμενόν τε καὶ ἐλέγχειν μηδενὸς ἀποκρινομένου. ἀξιώσατε οὖν καὶ ὑμεῖς, ὥσπερ ἐγὼ λέγω, διττούς μου τοὺς κατηγόρους γεγονέναι, ἑτέρους μὲν τοὺς ἄρτι κατηγορήσαντας, ἑτέρους δὲ τοὺς πάλαι, οὓς ἐγὼ λέγω. καὶ οἰήθητε δεῖν πρὸς ἐκείνους πρῶτόν με ἀπολογήσασθαι· καὶ γὰρ ὑμεῖς ἐκείνων πρότερον ἠκούσατε κατηγορούντων, καὶ πολὺ μᾶλλον ἢ τῶνδε τῶν ὕστερον.

Εἶεν. ἀπολογητέον δή, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐπιχειρητέον ὑμῶν ἐξελέσθαι τὴν διαβολήν, ἣν ὑμεῖς ἐν πολλῷ χρόνῳ ἔσχετε, ταύτην ἐν οὕτως ὀλίγῳ

gelį iš jūsų, vyrai, kai dar vaikai tebebuvote, nusitvėrę tikino ir visai neteisingai skundė mane: esąs, girdi, toks Sokratas, mintras vyras, kurs sukąs galvą dėl daiktų, esančių aukštybėse, kurs ištyręs visa, kas esą po žeme, ir kurs sugebąs paversti netaurą daiktą tauru. Štai tie žmonės, Atėnų vyrai, paleidę tokį girdą, yra mano pavojingieji kaltintojai, kadangi visi, kurie jų klausosi, spėja, kad visų tų daiktų tyrėjai nei Dievų nebetikį. Paskum, tų kaltintojų yra daug, ir jau seniai jie kaltina, mane jums dar tuomet indavinėdami, kada lengviausiai patikėti jūs galėjote, kai tebebuvote vaikai, o kaikurie ir priaugliai; pagaliau jie kaltino už akių, kada niekas nesigynė. Kas visų kebliausia, tai kad negalima nei sužinoti, nei pasakyti dargi jų vardų; negu tik vienas kitas komedijų rašytojas rastųsi jų tarpe. Kurie iš pavydo ir iš pykčio stengės jus inkalbėti, taippat, kurie, būdami patys inkalbėti, kitus inkalbinėjo, — visi tie yra labai sunkiai prieinami, kadangi negalima nei vieno jų nei čia atvesti, nei sugauti netiesą kalbant. Vadinasi, sutiksite, jog mano kaltintojų, kaip sakau, dvejopų esama: vieni, tai kurie su skundais vos dabar išstojo, o kiti, tai senieji, apie kuriuos tik kalbėjau; ir tikėkite manim, man reikia apsiginti pirma nuo anų. Juk ir jūs pirma klausėtės anų mane kaltinant ir daug labiau, kaip tų, kurie paskum atsirado.

Tiek to, Atėnų vyrai, šiaip ar taip, esu verčiamas gintis ir mėginti taip trumpu laiku išplėšti iš jūsų sielos tą piktą paskalbą, kurią jau ilgą

χρόνῳ. βουλοίμην μὲν οὖν ἂν τοῦτο οὕτως γενέσθαι, εἴ τι ἄμεινον καὶ ὑμῖν καὶ ἐμοί, καὶ πλέον τί με ποιῆσαι ἀπολογούμενον· οἶμαι δὲ αὐτὸ χαλεπὸν εἶναι, καὶ οὐ πάνυ με λανθάνει, οἷόν ἐστιν. ὅμως τοῦτο μὲν ἴτω, ὅπῃ τῷ θεῷ φίλον, τῷ δὲ νόμῳ πειστέον καὶ ἀπολογητέον.

III. Ἀναλάβωμεν οὖν ἐξ ἀρχῆς, τίς ἡ κατηγορία ἐστίν, ἐξ ἧς ἡ ἐμὴ διαβολὴ γέγονεν, ᾗ δὴ καὶ πιστεύων Μέλητός με ἐγράψατο τὴν γραφὴν ταύτην. εἶεν· τί δὴ λέγοντες διέβαλλον οἱ διαβάλλοντες; ὥσπερ οὖν κατηγόρων τὴν ἀντωμοσίαν δεῖ ἀναγνῶναι αὐτῶν· Σωκράτης ἀδικεῖ καὶ περιεργάζεται ζητῶν τά τε ὑπὸ γῆς καὶ οὐράνια καὶ τὸν ἥττω λόγον κρείττω ποιῶν καὶ ἄλλους τὰ αὐτὰ ταῦτα διδάσκων. τοιαύτη τίς ἐστιν· ταῦτα γὰρ ἑωρᾶτε καὶ αὐτοὶ ἐν τῇ Ἀριστοφάνους κωμῳδίᾳ, Σωκράτη τινὰ ἐκεῖ περιφερόμενον, φάσκοντά τε ἀεροβατεῖν καὶ ἄλλην πολλὴν φλυαρίαν φλυαροῦντα, ὧν ἐγὼ οὐδὲν οὔτε μέγα οὔτε μικρὸν πέρι ἐπαΐω. καὶ οὐχ ὡς ἀτιμάζων λέγω τὴν τοιαύτην ἐπιστήμην, εἴ τις περὶ τῶν τοιούτων σοφός ἐστιν. μή πως ἐγὼ ὑπὸ Μελήτου τοσαύτας δίκας φύγοιμι· ἀλλὰ γὰρ ἐμοὶ τούτων, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδὲν μέτεστιν. μάρτυρας δ' αὐτοὺς ὑμῶν τοὺς πολλοὺς παρέχομαι καὶ ἀξιῶ ὑμᾶς ἀλλήλους διδάσκειν τε καὶ φράζειν, ὅσοι ἐμοῦ πώποτε ἀκηκόατε διαλεγομένου· πολλοὶ δὲ ὑμῶν οἱ τοιοῦτοί εἰσιν· φράζετε οὖν ἀλλήλοις, εἰ πώποτε ἢ

laiką savyje nešiojate. Norėčiau būtent, kad tikrai taip atsitiktų — jei tat yra geriau ir jums ir man — ir kad man kiek pasisektų pateisinti save. Bet aš numanau, kaip nelengvas tasai žygis, ir toli gražu nepamirštu jo sunkumo. Pagaliau, tesidarai taip, kaip Dievui tinka; man reikia klausyti instatymų ir ginti savo byla.

III. Tad panagrinėkime nuo pat pradžios, kas per kaltinimas, iš kurio yra kilęs tas piktas girdas, kuriuo, matyti, atsidėjęs Melėtas inteikė tą skundą prieš mane. Tegu! Ką gi skelbė apie mane tie piktos kalbos žmonės? Norint tai žinoti, reikia paskaityti jų, kaip tikrųjų kaltintojų, tasai prisiektas skundas: „Sokratas nusikalsta ir niekus daro, norėdamas susekti, kas darosi po žeme ir danguje, netaurą daiktą versdamas tauru ir kitus mokydamas tų pačių dalykų“. Maždaug šitoks jų skundas. Agi ir patys tai matydavote Aristofano komedijoje: ten kanakoks Sokratas nešiojamas sakosi oru lakstąs ir paisto daug kitų niekų apie daiktus, apie kuriuos aš ničnieko nenuvokiu. Taip sakydamas, aš nenoriu niekinti to mokslo, jei kas jį tikrai išmano. Ir Melėtas tenepainioja manęs tokion bylon, nes aš, vyrai atėniečiai, tikrai nieko bendro neturiu su tokiais dalykais. Daugelį jus pačius statau liudytojais ir kviečiu visus, kurie tik esate kada girdėję mane kalbant, išaiškinti kits kitam ir išpasakoti; juk daug jūsų yra tokių. Tad papasakokite vieni kitiems, ar yra bent vienas jū-

μικρὸν ἢ μέγα ἤκουσέ τις ὑμῶν ἐμοῦ περὶ τῶν τοιούτων διαλεγομένου· καὶ ἐκ τούτων γνώσεσθε, ὅτι τοιαῦτ' ἐστὶ καὶ τἆλλα περὶ ἐμοῦ, ἃ οἱ πολλοὶ λέγουσιν.

IV. Ἀλλὰ γὰρ οὔτε τούτων οὐδέν ἐστιν, οὐδέ γ' εἴ τινος ἀκηκόατε, ὡς ἐγὼ παιδεύειν ἐπιχειρῶ ἀνθρώπους καὶ χρήματα πράττομαι, οὐδὲ τοῦτο ἀληθές. ἐπεὶ καὶ τοῦτό γέ μοι δοκεῖ καλὸν εἶναι, εἴ τις οἷός τ' εἴη παιδεύειν ἀνθρώπους ὥσπερ Γοργίας τε ὁ Λεοντῖνος καὶ Πρόδικος ὁ Κεῖος καὶ Ἱππίας ὁ Ἠλεῖος. τούτων γὰρ ἕκαστος, ὦ ἄνδρες, ἰὼν εἰς ἑκάστην τῶν πόλεων τοὺς νέους, οἷς ἔξεστι τῶν ἑαυτῶν πολιτῶν προῖκα ξυνεῖναι ᾧ ἂν βούλωνται, τούτους πείθουσιν τὰς ἐκείνων ξυνουσίας ἀπολιπόντας σφίσιν ξυνεῖναι χρήματα διδόντας καὶ χάριν προσειδέναι. ἐπεὶ καὶ ἄλλος ἀνήρ ἐστι Πάριος ἐνθάδε σοφός, ὃν ἐγὼ ᾐσθόμην ἐπιδημοῦντα· ἔτυχον γὰρ προσελθὼν ἀνδρί, ὃς τετέλεκε χρήματα σοφισταῖς πλείω ἢ ξύμπαντες οἱ ἄλλοι, Καλλίᾳ τῷ Ἱππονίκου· τοῦτον οὖν ἀνηρόμην — ἐστὸν γὰρ αὐτῷ δύο ὑεῖ — ὦ Καλλία, ἦν δ' ἐγώ, εἰ μέν σου τὼ ὑεῖ πώλω ἢ μόσχω ἐγενέσθην, εἴχομεν ἂν αὐτοῖν ἐπιστάτην λαβεῖν καὶ μισθώσασθαι, ὃς ἔμελλεν αὐτὼ καλώ τε κἀγαθὼ ποιήσειν τὴν προσήκουσαν ἀρετήν· ἦν δ' ἂν οὗτος ἢ τῶν ἱππικῶν τις ἢ τῶν γεωργικῶν· νῦν δ' ἐπειδὴ

sų kas girdėjęs mane kalbant ką apie tokius dalykus. Ir iš to jūs sužinosite, kad ir visa kita, ką minia pasakoja apie mane, yra tokios pat vertės.

IV. Ne! ir čia tikrai nėra nieko rimta. Ir jei esate iš ko girdėję, kad aš imąsis mokyti žmones ir už tai reikalaująs pinigų, tai ir vėl netiesa, nors, kaip man rodos, yra gerai, jei kas sugeba auklėti žmones, kaip štai Leontinų Gorgijas, Keo Prodikas ir Elidos Hippijas. Jie, mat, kiekvienas, vyrai, inmano, keliaudami iš miesto miestan, vilioti jaunikaičius, kurie galėtų dykai bendrauti su kuo norėdami ir iš savųjų piliečių. Tuos jaunikaičius inkalbinėja, metus savųjų pamokas, mokytis iš jų pačių už atlyginimą ir dar dėku pasakyti. Beje, yra čia dar kitas minttras žmogus, iš Paro, kurs esąs, kaip aš patyriau, in mus atvykęs. Mat, netikėtai sutikau vieną, sofistams sumokėjusį pinigų daugiau, kaip visi kiti krūvoje, — Kallią Hipponiko sūnų. Taigi jį paklausiau (mat, jam yra du sūnu): „Mielas Kalliau, sakiau aš, — jei tavo sūnūs būtų kumeliukai ar teliukai, tai reiktų jiems paimti ir pasamdyti toks pristovas, kurs turėtų juodu užūgdyti gražius ir gerus, kaip tinka jų padermei. Tai būtų arba koks arklininkas arba koks ūki-

ἀνθρώπω ἐστόν, τίνα αὐτοῖν ἐν νῷ ἔχεις ἐπιστάτην λαβεῖν; τίς τῆς τοιαύτης ἀρετῆς, τῆς ἀνθρωπίνης τε καὶ πολιτικῆς, ἐπιστήμων ἐστίν; οἶμαι γάρ σε ἐσκέφθαι διὰ τὴν τῶν ὑέων κτῆσιν. ἔστιν τις, ἔφην ἐγώ, ἢ οὔ; πάνυ γε, ἦ δ' ὅς. τίς, ἦν δ' ἐγώ, καὶ ποδαπός, καὶ πόσου διδάσκει; Εὔηνος, ἔφη, ὦ Σώκρατες, Πάριος, πέντε μνῶν. καὶ ἐγὼ τὸν Εὔηνον ἐμακάρισα, εἰ ὡς ἀληθῶς ἔχοι ταύτην τὴν τέχνην καὶ οὕτως ἐμμελῶς διδάσκοι. ἐγὼ γοῦν καὶ αὐτὸς ἐκαλλυνόμην τε καὶ ἡβρυνόμην ἄν, εἰ ἠπιστάμην ταῦτα· ἀλλ' οὐ γὰρ ἐπίσταμαι, ὦ ἄνδρες Ἀθηναῖοι.

V. Ὑπολάβοι ἂν οὖν τις ὑμῶν ἴσως· ἀλλ', ὦ Σώκρατες, τὸ σὸν τί ἐστι πρᾶγμα; πόθεν αἱ διαβολαί σοι αὗται γεγόνασιν; οὐ γὰρ δήπου σοῦ γε οὐδὲν τῶν ἄλλων περιττότερον πραγματευομένου ἔπειτα τοσαύτη φήμη τε καὶ λόγος γέγονεν, εἰ μή τι ἔπραττες ἀλλοῖον ἢ οἱ πολλοί· λέγε οὖν ἡμῖν, τί ἐστιν, ἵνα μὴ ἡμεῖς περὶ σοῦ αὐτοσχεδιάζωμεν. ταυτί μοι δοκεῖ δίκαια λέγειν ὁ λέγων, κἀγὼ ὑμῖν πειράσομαι ἀποδεῖξαι, τί ποτ' ἔστιν τοῦτο, ὃ ἐμοὶ πεποίηκεν τό τε ὄνομα καὶ τὴν διαβολήν. ἀκούετε δή. καὶ ἴσως μὲν δόξω τισὶν ὑμῶν παίζειν, εὖ μέντοι ἴστε, πᾶσαν ὑμῖν τὴν ἀλήθειαν ἐρῶ. ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δι' οὐδὲν ἀλλ' ἢ διὰ σοφίαν τινὰ τοῦτο τὸ ὄνομα ἔσχηκα. ποίαν δὴ σοφίαν ταύτην; ἥπερ ἐστὶν ἴσως ἀνθρωπίνη σοφία. τῷ ὄντι γὰρ

ninkas. Bet tai juk žmonės! Tai kokį auklėtoją ketini jiems paimti? Kas išmanytų tokią dorybę, kuri yra žmogui ir piliečiui privalu? Manau, būsi tai apsvarstęs, kadangi sūnų turi. Yra toks, — paklausiau, — ar ne? — „Žinoma yra“,— atsakė jis. — „Kas per vienas? — klausiau toliau. Iš kur jis yra ir kiek ima už pamokas?“ — „Euenas iš Paro, Sokratai, — atsakė jis, — ima penkias minas“. Tada pamaniau: laimingas Euenas, jeigu jis tikrai turi to gabumo ir taip inmanomai moko. Agi ir aš galėčiau girtis ir didžiuotis tuo amatu, jeigu jo taip mokėčiau. Bet, deja, vyrai atėniečiai, nemoku.

V. Tad gal kas iš jūsų man tan žodin pasakytų: „Sokratai, nagi koks tavo tikras verslas? Iš kur tos piktos paskalbos prieš tave yra kilusios? Matyti, ne iš to, kad tavo verslas nieku ypatingu nesiskyrė nuo kitų darbo? Juk nebūtų pasklidę nei tokio girdo, nei tokių kalbų, jei tu nebūtum daręs ko kitaip, kaip daugumas daro? Tad sákai mums, kaip tikrai yra, kad mes nepasielgtume su tavim skubotai“. Kas taip sako, tas, man rodos, teisingai kalba, ir aš pamėginsiu jums išaiškinti, kas per priežastis, kuri sudarė man tą vardą ir tą piktą paskalbą. Tad klaúsaite. Gal jums kuriems pasirodysiu taip sau juokaująs. Bet tikėkite manim: aš jums sakysiu tikrą tiesą. Aš turiu, vyrai atėniečiai, gavęs tą vardą ne dėl kito ko, kaip tik dėl tam tikros išminties. Kokia gi ta išmintis? Ji, turbūt, yra paprastoji žmo-

κινδυνεύω ταύτην εἶναι σοφός· οὗτοι δὲ τάχ' ἄν, οὓς ἄρτι ἔλεγον, μείζω τινὰ ἢ κατ' ἄνθρωπον σοφίαν σοφοὶ εἶεν, ἢ οὐκ ἔχω τί λέγω· οὐ γὰρ δὴ ἔγωγε αὐτὴν ἐπίσταμαι, ἀλλ' ὅστις φησί, ψεύδεταί τε καὶ ἐπὶ διαβολῇ τῇ ἐμῇ λέγει. καί μοι, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ θορυβήσητε, μηδ' ἐὰν δόξω τι ὑμῖν μέγα λέγειν· οὐ γὰρ ἐμὸν ἐρῶ τὸν λόγον, ὃν ἂν λέγω, ἀλλ' εἰς ἀξιόχρεων ὑμῖν τὸν λέγοντα ἀνοίσω. τῆς γὰρ ἐμῆς, εἰ δή τίς ἐστιν σοφία καὶ οἵα, μάρτυρα ὑμῖν παρέξομαι τὸν θεὸν τὸν ἐν Δελφοῖς. Χαιρεφῶντα γὰρ ἴστε που. οὗτος ἐμός τε ἑταῖρος ἦν ἐκ νέου καὶ ὑμῶν τῷ πλήθει ξυνέφυγε τὴν φυγὴν ταύτην καὶ μεθ' ὑμῶν κατῆλθε. καὶ ἴστε δή, οἷος ἦν Χαιρεφῶν, ὡς σφοδρὸς ἐφ' ὅ τι ὁρμήσειεν. καὶ δή ποτε καὶ εἰς Δελφοὺς ἐλθὼν ἐτόλμησε τοῦτο μαντεύσασθαι· καί, ὅπερ λέγω, μὴ θορυβεῖτε, ὦ ἄνδρες· ἤρετο γὰρ δή, εἴ τις ἐμοῦ εἴη σοφώτερος. ἀνεῖλεν οὖν ἡ Πυθία μηδένα σοφώτερον εἶναι. καὶ τούτων πέρι ὁ ἀδελφὸς ὑμῖν αὐτοῦ οὑτοσὶ μαρτυρήσει, ἐπειδὴ ἐκεῖνος τετελεύτηκεν.

VI. Σκέψασθε δή, ὧν ἕνεκα ταῦτα λέγω· μέλλω γὰρ ὑμᾶς διδάξειν, ὅθεν μοι ἡ διαβολὴ γέγονεν. ταῦτα γὰρ ἐγὼ ἀκούσας ἐνεθυμούμην οὑτωσί· τί ποτε λέγει ὁ θεός, καὶ τί ποτε αἰνίττεται; ἐγὼ γὰρ δὴ οὔτε

gaus išmintis. Tos mat, manyčiau, tikrai aš turiu. Tie štai, apie kuriuos tik kalbėjau, yra rasit didesnės išminties, nei ta, kuri žmogui pasiekiama; jei ne taip, tai aš neturiu ko besakyti. Bent aš jos tikrai nesuprantu, ir kas sako priešingai, tas meluoja ir leidžia piktas paskalbas apie mane. Ir dabar neurzkite ant manęs, vyrai atėniečiai, jei kaip atrodysiu jums iš didžio kalbąs, nes ta mintis, kurią sakysiu, nebus mano; priešingai, aš atsišauksiu in tą, kieno žodis jums visai patikimas. Būtent, savo išminčiai liūdyti, — ar aš jos iš viso turiu ir kokia ji yra, — nurodysiu jums Delfų Dievą. Juk tikrai pažįstate Chairefontą. Jis buvo mano draugas iš jaunų dienų, taippat ir jūsų draugės žmogus; jis buvo tuomet kartu pabėgęs ir paskum sugrįžo su jumis. Agi žinote, koks buvo Chairefontas, kaip skudriai imdavos viso, ko tik insigeisdavo. Ir štai, vieną kartą atvykęs Delfuosin, išdrįso tuo reikalu paklausti Dievą. Ir vėl sakau, nekelkite triukšmo, vyrai! Jis, mat, paklausė, ar yra kas išmintingesnis už mane. Pitija žiniuonė atsakė, kad niekas neesąs išmintingesnis. Tuos žodžius patvirtins jums čiapat jo brolis, kadangi Chairefontas jau miręs.

VI. Dabar insidėmėkite, kodėl aš jums tai sakau. Mat, noriu jums išaiškinti, iš ko yra kilusi ta piktoji mano paskalba. Išgirdęs, kad Pitija tatai lėmusi, aš maniau sau šiaip: „Ką gi Dievas skelbia ir kokią ten jis mįslę mena? Juk aš

μέγα οὔτε σμικρὸν ξύνοιδα ἐμαυτῷ σοφὸς ὤν· τί οὖν ποτε λέγει φάσκων ἐμὲ σοφώτατον εἶναι; οὐ γὰρ δήπου ψεύδεταί γε· οὐ γὰρ θέμις αὐτῷ. καὶ πολὺν μὲν χρόνον ἠπόρουν, τί ποτε λέγει, ἔπειτα μόγις πάνυ ἐπὶ ζήτησιν αὐτοῦ τοιαύτην τινὰ ἐτραπόμην. ἦλθον ἐπί τινα τῶν δοκούντων σοφῶν εἶναι, ὡς ἐνταῦθα, εἴπερ που, ἐλέγξων τὸ μαντεῖον καὶ ἀποφανῶν τῷ χρησμῷ, ὅτι οὑτοσὶ ἐμοῦ σοφώτερός ἐστι, σὺ δ' ἐμὲ ἔφησθα. διασκοπῶν οὖν τοῦτον — ὀνόματι γὰρ οὐδὲν δέομαι λέγειν, ἦν δέ τις τῶν πολιτικῶν, πρὸς ὃν ἐγὼ σκοπῶν τοιοῦτόν τι ἔπαθον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ διαλεγόμενος αὐτῷ — ἔδοξέ μοι οὗτος ὁ ἀνὴρ δοκεῖν μὲν εἶναι σοφὸς ἄλλοις τε πολλοῖς ἀνθρώποις καὶ μάλιστα ἑαυτῷ, εἶναι δ' οὔ· κἄπειτα ἐπειρώμην αὐτῷ δεικνύναι, ὅτι οἴοιτο μὲν εἶναι σοφός, εἴη δ' οὔ. ἐντεῦθεν οὖν τούτῳ τε ἀπηχθόμην καὶ πολλοῖς τῶν παρόντων· πρὸς ἐμαυτὸν δ' οὖν ἀπιὼν ἐλογιζόμην, ὅτι τούτου μὲν τοῦ ἀνθρώπου ἐγὼ σοφώτερός εἰμι· κινδυνεύει μὲν γὰρ ἡμῶν οὐδέτερος οὐδὲν καλὸν κἀγαθὸν εἰδέναι, ἀλλ' οὗτος μὲν οἴεταί τι εἰδέναι οὐκ εἰδώς, ἐγὼ δέ, ὥσπερ οὖν οὐκ οἶδα, οὐδὲ οἴομαι· ἔοικα γοῦν τούτου γε σμικρῷ τινι αὐτῷ τούτῳ σοφώτερος εἶναι, ὅτι ἃ μὴ οἶδα οὐδὲ οἴομαι εἰδέναι. ἐντεῦθεν ἐπ' ἄλλον ᾖα τῶν ἐκείνου δοκούντων σοφωτέρων εἶναι, καί μοι ταὐτὰ ταῦτα ἔδοξε· καὶ ἐνταῦθα κἀκείνῳ καὶ ἄλλοις πολλοῖς ἀπηχθόμην.

tikrai nesijaučiu išmintingas nei didžiuose, nei mažuose dalykuose. Ką gi jis pagaliau mano, sakydamas mane išmintingiausią esant? Juk meluoti jis tikrai nemeluoja, nes tai jam nepridera". Ir ilgai abejodamas sukiau galvą, ką tie jo žodžiai reiškia. Galų gale, sunkokai išsijudinęs, ryžaus tirti tą dalyką šiokiu būdu. Nuėjau in vieną iš tokių, kurie rodosi išmintingi esą, manydamas, kad kur jau kur, o tenai jau suseksiu, jog žiniuonė klysta, ir stačiai galėsiu pasakyti: Štai tas yra išmintingesnis už mane, o tu skelbi, kad aš. Tad nuodugniai kvočiau tą vyrą: vardu jis minėti visai nėra man reikalo. Jis buvo vienas iš valstybės vyrų; jį bekvosdamas ir su juo bešnekėdamas, vyrai atėniečiai, gavau maždaug tokio inspūdžio. Man pasimatė, kad tas vyras nėra betgi toks išmintingas, koks jis rodosi daugeliui žmonių ir labiausiai sau pačiam. Paskum mėginau jam aiškinti, kad nors jis vedasi išmintingu, tačiau toks nėra. Galas buvo toks, kad insipykau ir jam, ir daugeliui tų, kurie su juo buvo.

Grįždamas in save, visdėlto maniau sau: „Už tą žmogų aš esu išmintingesnis. Mat, rodos, nei vienas mudu nieko tauro nežinova; tik jis nežinodamas dedasi ką žinąs, o aš, kai nežinau, tai ir nesidedu žinovu. Tad ir atrodo, kad aš bent-kiek už jį išmintingesnis, — jau tuo būtent išmintingesnis, kad nesisakau žinąs ką nežinodamas". Po to ėjau in kitą, vieną iš tų, kurie laiko save išmintingesniais ir už aną. Bet ir čia pasirodė ta pat. Taip pat insipykau ir šiam ir daugeliui kitiems.

VII. Μετὰ ταῦτ' οὖν ἤδη ἐφεξῆς ᾖα, αἰσθανόμενος μὲν καὶ λυπούμενος καὶ δεδιώς, ὅτι ἀπηχθανόμην, ὅμως δὲ ἀναγκαῖον ἐδόκει εἶναι τὸ τοῦ θεοῦ περὶ πλείστου ποιεῖσθαι· ἰτέον οὖν σκοποῦντι τὸν χρησμόν, τί λέγει, ἐπὶ ἅπαντας τούς τι δοκοῦντας εἰδέναι. καὶ νὴ τὸν κύνα, ὦ ἄνδρες Ἀθηναῖοι — δεῖ γὰρ πρὸς ὑμᾶς τἀληθῆ λέγειν — ἦ μὴν ἐγὼ ἔπαθόν τι τοιοῦτον· οἱ μὲν μάλιστα εὐδοκιμοῦντες ἔδοξάν μοι ὀλίγου δεῖν τοῦ πλείστου ἐνδεεῖς εἶναι ζητοῦντι κατὰ τὸν θεόν, ἄλλοι δὲ δοκοῦντες φαυλότεροι ἐπιεικέστεροι εἶναι ἄνδρες πρὸς τὸ φρονίμως ἔχειν. δεῖ δὴ ὑμῖν τὴν ἐμὴν πλάνην ἐπιδεῖξαι, ὥσπερ πόνους τινὰς πονοῦντος, ἵνα μοι καὶ ἀνέλεγκτος ἡ μαντεία γένοιτο. μετὰ γὰρ τοὺς πολιτικοὺς ᾖα ἐπὶ τοὺς ποιητάς, τούς τε τῶν τραγῳδιῶν καὶ τοὺς τῶν διθυράμβων καὶ τοὺς ἄλλους, ὡς ἐνταῦθα ἐπ' αὐτοφώρῳ καταληψόμενος ἐμαυτὸν ἀμαθέστερον ἐκείνων ὄντα. ἀναλαμβάνων οὖν αὐτῶν τὰ ποιήματα, ἅ μοι ἐδόκει μάλιστα πεπραγματεῦσθαι αὐτοῖς, διηρώτων ἂν αὐτούς, τί λέγοιεν, ἵν' ἅμα τι καὶ μανθάνοιμι παρ' αὐτῶν. αἰσχύνομαι οὖν ὑμῖν εἰπεῖν, ὦ ἄνδρες, τἀληθῆ· ὅμως δὲ ῥητέον. ὡς ἔπος γὰρ εἰπεῖν, ὀλίγου αὐτῶν ἅπαντες οἱ παρόντες ἂν βέλτιον ἔλεγον περὶ ὧν αὐτοὶ ἐπεποιήκεσαν. ἔγνων οὖν αὖ καὶ περί τῶν ποιητῶν ἐν ὀλίγῳ τοῦτο, ὅτι οὐ σοφίᾳ ποιοῖεν, ἃ ποιοῖεν, ἀλλὰ φύσει τινὶ καὶ ἐνθουσιάζοντες, ὥσπερ οἱ θεομάντεις καὶ οἱ χρησμῳδοί· καὶ γὰρ οὗτοι λέγουσι μὲν πολλὰ καὶ καλά, ἴσασιν δὲ οὐδὲν ὧν λέγουσι·

VII. Po to jau paeiliui vaikščiojau, — susisielojęs ir nerimo paimtas; kad ir numaniau, jog tuo žygiu kėliau sau neapykantą, visdėlto jaučiausi verčiamas Dievo bylą statyti visų aukščiausia. Tad reikia, tiriant Dievo žosmės prasmę, vaikščioti per visus, kurie tik tariasi ką išmaną. Dievaži, atėniečiai, — juk reikia sakyti jums tiesa, — aš tikrai gavau patirti štai ką maždaug: kurie labiausiai giriami, tie pasirodė, man juos Dievo žosmės atžvilgiu bekvočiant, veik daugiausia stokoją, o kiti, kurie menkesnio garsumo buvo, pasirodė daugiau nuovokos turį. Juk reikia jums apsakyti mano klaidžioji kelionė, kaip būtent šiokius ir tokius vargus vargau, kad žiniuonės žosmė paliktų nenupeikta. Tad nuo valstybės vyrų ėjau in poetus, tragedijų bei ditirambų dirbėjus ir kitus, norėdamas tenai pirštu prikišamai sau parodyti, kad aš mažiau teišmanau už anuos. Imu jų tuos, rūpestingiausiai, kaip mano rodosi, apdorotus veikalus, ir klausinėju, ką jie pasakys, kad tuo pačiu žygiu galėčiau ko iš jų ir pasimokyti. Tik man, vyrai, drovu sakyti jums tiesa, ir visdėlto ji reikia pasakyti. Mat, vienu žodžiu, kone visi, kurie ten buvo, geriau kalbėjo, nei poetai, apie kūrinius, jų pačių parašytus. O netrukus vėl sužinojau ir apie poetus, kad jie, jei kuria ką, tai kuria ne išmintim, bet kanakokiu ingimtu gabumu, Dievo inkvėpti, kaip ir pranašai ir tie, kurie ripuote ripuoja žiniuonių žosmę. Agi ir tie pasako daug ir gražių dalykų, tačiau nieko nenusimano apie tai, ką kalba. Tokio maždaug

τοιοῦτόν τί μοι ἐφάνησαν πάθος καὶ οἱ ποιηταὶ πεπονθότες· καὶ ἅμα ᾐσθόμην αὐτῶν διὰ τὴν ποίησιν οἰομένων καὶ τἆλλα σοφωτάτων εἶναι ἀνθρώπων, ἃ οὐκ ἦσαν. ἀπῇα οὖν καὶ ἐντεῦθεν τῷ αὐτῷ οἰόμενος περιγεγονέναι, ᾧπερ καὶ τῶν πολιτικῶν.

VIII. Τελευτῶν οὖν ἐπὶ τοὺς χειροτέχνας ᾖα· ἐμαυτῷ γὰρ ξυνῄδη οὐδὲν ἐπισταμένῳ, ὡς ἔπος εἰπεῖν, τούτους δέ γ' ᾔδη ὅτι εὑρήσοιμι πολλὰ καὶ καλὰ ἐπισταμένους. καὶ τούτου μὲν οὐκ ἐψεύσθην, ἀλλ' ἠπίσταντο, ἃ ἐγὼ οὐκ ἠπιστάμην, καί μου ταύτῃ σοφώτεροι ἦσαν. ἀλλ', ὦ ἄνδρες Ἀθηναῖοι, ταὐτόν μοι ἔδοξαν ἔχειν ἁμάρτημα, ὅπερ καὶ οἱ ποιηταί, καὶ οἱ ἀγαθοὶ δημιουργοί· διὰ τὸ τὴν τέχνην καλῶς ἐξεργάζεσθαι ἕκαστος ἠξίου καὶ τἆλλα τά μέγιστα σοφώτατος εἶναι, καὶ αὐτῶν αὕτη ἡ πλημμέλεια ἐκείνην τὴν σοφίαν ἀπέκρυπτεν· ὥστε με ἐμαυτὸν ἀνερωτᾶν ὑπὲρ τοῦ χρησμοῦ, πότερα δεξαίμην ἂν οὕτως, ὥσπερ ἔχω ἔχειν, μήτε τι σοφὸς ὢν τὴν ἐκείνων σοφίαν' μήτε ἀμαθὴς τὴν ἀμαθίαν, ἢ ἀμφότερα, ἃ ἐκεῖνοι ἔχουσιν, ἔχειν. ἀπεκρινάμην οὖν ἐμαυτῷ καὶ τῷ χρησμῷ, ὅτι μοι λυσιτελοῖ, ὥσπερ ἔχω, ἔχειν.

IX. Ἐκ ταυτησὶ δὴ τῆς ἐξετάσεως, ὦ ἄνδρες Ἀθηναῖοι, πολλαὶ μὲν ἀπέχθειαί μοι γεγόνασι καὶ οἷαι χαλεπώταται καὶ βαρύταται, ὥστε πολλὰς διαβολὰς ἀπ' αὐτῶν γεγονέναι, ὄνομα δὲ τοῦτο λέγομαι,

ūpo, kaip man paaiškėjo, pagauti ir poetai. Tuo pat žygiu pastebėjau, kad jie, būdami gabūs poezijai, jau dedasi išmintingiausi žmonės ir kitur, kur nieko nenuvokia. Išėjau tad ir iš jų, manydamas sau, kad aš juos pranešu tuo pat atžvilgiu, kuriuo ir politikus.

VIII. Pagaliau ėjau in amatininkus. Jog aš, stačiai sakant, nieko nežinau, — man buvo aišku. Bet buvau tikras, kad jie žino daug ir gražių dalykų. Čia aš ir neapsigavau: Jų tikrai žinota, ko nežinota mano, ir tuo jie buvo išmintingesni už mane. Tik ir gerieji amatininkai man pasirodė, vyrai atėniečiai, ta pačia yda besergą, kaip ir poetai. Kad puikiai atlikdavo savo amatą, jau dėl to jie kiekvienas dėjosi visų geriausiai išmaną ir kitus dalykus, dargi pačius painiuosius, ir ta būtent jų paklaida temdė aną jų išmonę. Taip kad, sekdamas žiniuonės žosmę, kláusiau pats save, kas man iš dveja pasirinkus: palikus tokiam, koks esu, neturėdamas nei jų mokslo, nei jų neišmonės, ar bevelijus būti, kaip jie, mokytam, bet neišmintingam. Pagaliau tariau sau ir žiniuonės žosmei, kad man verčiau palikus tokiam, koks esu.

IX. Aišku, vyrai atėniečiai, šitas tyrimas yra pridaręs man daug priešininkų, ir tai dar pačių piktųjų ir pačių smarkiųjų: tad iš jų yra kilę tieka pakalbų ir tas girdas, kad aš esąs išmintingas. Mat, klausytojai tiki, kad aš pats vi-

σοφὸς εἶναι· οἴονται γάρ με ἑκάστοτε οἱ παρόντες ταῦτα αὐτὸν εἶναι σοφόν, ἃ ἂν ἄλλον ἐξελέγξω· τὸ δὲ κινδυνεύει, ὦ ἄνδρες, τῷ ὄντι ὁ θεὸς σοφὸς εἶναι καὶ ἐν τῷ χρησμῷ τούτῳ τοῦτο λέγειν, ὅτι ἡ ἀνθρωπίνη σοφία ὀλίγου τινὸς ἀξία ἐστὶν καὶ οὐδενός· καὶ φαίνεται τοῦτ' οὐ λέγειν τὸν Σωκράτη, προσκεχρῆσθαι δὲ τῷ ἐμῷ ὀνόματι, ἐμὲ παράδειγμα ποιούμενος; ὥσπερ ἂν εἰ εἴποι, ὅτι οὗτος ὑμῶν, ὦ ἄνθρωποι, σοφώτατός ἐστιν, ὅστις ὥσπερ Σωκράτης ἔγνωκεν, ὅτι οὐδενὸς ἄξιός ἐστι τῇ ἀληθείᾳ πρὸς σοφίαν. ταῦτ' οὖν ἐγὼ μὲν ἔτι καὶ νῦν περιιὼν ζητῶ καὶ ἐρευνῶ κατὰ τὸν θεόν, καὶ τῶν ἀστῶν καὶ ξένων ἄν τινα οἴωμαι σοφὸν εἶναι· καὶ ἐπειδάν μοι μὴ δοκῇ, τῷ θεῷ βοηθῶν ἐνδείκνυμαι, ὅτι οὐκ ἔστι σοφός. καὶ ὑπὸ ταύτης τῆς ἀσχολίας οὔτε τι τῶν τῆς πόλεως πρᾶξαί μοι σχολὴ γέγονεν ἄξιον λόγου οὔτε τῶν οἰκείων, ἀλλ' ἐν πενίᾳ μυρίᾳ εἰμὶ διὰ τὴν τοῦ θεοῦ λατρείαν.

X. Πρὸς δὲ τούτοις οἱ νέοι μοι ἐπακολουθοῦντες οἷς μάλιστα σχολή ἐστιν, οἱ τῶν πλουσιωτάτων, αὐτόματοι χαίρουσιν ἀκούοντες ἐξεταζομένων τῶν ἀνθρώπων, καὶ αὐτοὶ πολλάκις ἐμὲ μιμούμενοι, εἶτα ἐπιχειροῦσιν ἄλλους ἐξετάζειν. κἄπειτα, οἶμαι, εὑρίσκουσι πολλὴν ἀφθονίαν οἰομένων μὲν εἰδέναι τι ἀνθρώπων, εἰδότων δὲ ὀλίγα ἢ οὐδέν. ἐντεῦθεν οὖν οἱ ὑπ' αὐτῶν ἐξεταζόμενοι ἐμοὶ ὀργίζονται, ἀλλ' οὐχ αὑτοῖς, καὶ λέγουσιν, ὡς Σωκράτης τίς ἐστι μιαρώτατος καὶ

suomet išmanąs tai, ko kitus sugaunu nežinant. Matyti, vyrai, kad tikrai išmintingas tėra Dievas ir kad jis ta savo žosme skelbia, jog žmogaus išmintis maža ko tėra verta arba nieko neverta. Ir jis, nurodydamas Sokratą, regis, tik pasinaudoja mano vardu, dėdamas mane pavyzdžiu, tarytum sakyte sakydamas: „Žmonės, tas jūsų tarpe išmintingiausias, kurs, kaip Sokratas, yra sužinojęs, kad jo išmintis, tiesą pasakius, yra niekis". Štai ir dabar aš vaikščiodamas vis dar tebetyrinėju ir tebeklausinėju, kaip Dievo sakyta, kiekvieną pilietį ir svetimos šalies žmogų, kurį tik laikau išmintingu. Ir kai man nesirodo išmintingas, tai aš einu Dievo talkon ir iškeliu aikštėn, kad tas ir tas tikrai nėra išmintingas. Nuo tokio darbo nebepalieka man laiko nei savo krašto, nei savo namų reikalais kiek rimčiau pasirūpinti. Kad taip Dievui tarnauju, dėl to ir didžiausiame skurde gyvenu.

X. Be to, tenka pridurti, kad jaunuoliai, labai pasiturinčių tėvų sūnūs, kurie turi laisvo laiko kiek norint, savitai lydi mane visur ir mėgsta klausytis, kaip aš tardau žmones. Manim sekdami, paskum dažnai ir jie patys ima kamantinėti kitus. Ir, kaip man regis, jie patys randa eibes tokių žmonių, kurie tariasi ką žiną, o iš tikrųjų maža ką težino arba nieko nežino. Tada jie, gaudinami jaunuolių, inširsta ne ant savęs, bet ant manęs, ir pasakoja, kad esąs kanakoks Sokratas nedorėlis, kurs tvirkinąs jaunuo-

διαφθείρει τοὺς νέους· καὶ ἐπειδάν τις αὐτοὺς ἐρωτᾷ, ὅ τι ποιῶν καὶ ὅ τι διδάσκων, ἔχουσι μὲν οὐδὲν εἰπεῖν, ἀλλ' ἀγνοοῦσιν, ἵνα δὲ μὴ δοκῶσιν ἀπορεῖν, τὰ κατὰ πάντων τῶν φιλοσοφούντων πρόχειρα ταῦτα λέγουσιν, ὅτι τὰ μετέωρα καὶ τὰ ὑπὸ γῆς καὶ θεοὺς μὴ νομίζειν καὶ τὸν ἥττω λόγον κρείττω ποιεῖν. τὰ γὰρ ἀληθῆ, οἴομαι, οὐκ ἂν ἐθέλοιεν λέγειν, ὅτι κατάδηλοι γίγνονται προσποιούμενοι μὲν εἰδέναι, εἰδότες δὲ οὐδέν. ἅτε οὖν, οἶμαι, φιλότιμοι ὄντες καὶ σφοδροὶ καὶ πολλοὶ καὶ ξυντεταμένως καὶ πιθανῶς λέγοντες περὶ ἐμοῦ, ἐμπεπλήκασιν ὑμῶν τὰ ὦτα καὶ πάλαι καὶ σφοδρῶς διαβάλλοντες. ἐκ τούτων καὶ Μέλητός μοι ἐπέθετο καὶ Ἄνυτος καὶ Λύκων, Μέλητος μὲν ὑπὲρ τῶν ποιητῶν ἀχθόμενος, Ἄνυτος δὲ ὑπὲρ τῶν δημιουργῶν καὶ τῶν πολιτικῶν, Λύκων δὲ ὑπὲρ τῶν ῥητόρων· ὥστε, ὅπερ ἀρχόμενος ἐγὼ ἔλεγον, θαυμάζοιμ' ἄν, εἰ οἷός τ' εἴην ἐγὼ ὑμῶν ταύτην τὴν διαβολὴν ἐξελέσθαι ἐν οὕτως ὀλίγῳ χρόνῳ οὕτω πολλὴν γεγονυῖαν.

Ταῦτ' ἔστιν ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τἀληθῆ, καὶ ὑμᾶς οὔτε μέγα οὔτε μικρὸν ἀποκρυψάμενος ἐγὼ λέγω οὐδ' ὑποστειλάμενος. καίτοι οἶδα σχεδόν, ὅτι τοῖς αὐτοῖς τούτοις ἀπεχθάνομαι, ὃ καὶ τεκμήριον, ὅτι ἀληθῆ λέγω καὶ ὅτι αὕτη ἐστὶν ἡ διαβολὴ ἡ ἐμὴ καὶ τὰ αἴτια ταῦτά ἐστιν. καὶ ἐάν τε νῦν ἐάν τε αὖθις ζητήσητε ταῦτα, οὕτως εὑρήσετε.

menę. Ir jei kas paklausia juos, ką veikdamas ir ko mokydamas tvirkina, tai neturi ko beatsakyti, nes nežino. Bet kad nesirodytų sugauti esą, kalba lakius žodžius, leidžiamus prieš visus tuos, kurie ieško tiesos, teigia būtent, kad jis tiriąs, kas dedasi ore ir po žeme, mokąs netikėti Dievą, mokąs priemonės negeram daiktui paversti geru. Tiesos, manding, jie nenorėtų sakyti, — tos tiesos, kad jie yra per aiškiai sugaudinti, jog apsimeta ką žiną, o iš tikrųjų nieko nežino. Taigi, ištroškę garbės, kaip aš menu, būdami smarkūs ir sudarydami didelį būrį, susitelkę krūvon ir intikimai kalbėdami apie mane, jie yra jums prikugždėję pilnas ausis nebūtų daiktų, pirma stropiai leidę ir dabar tebeleisdami paskalbas apie mane. Iš tų žmonių tarpo stojo prieš mane Melėtas, Anitas ir Likonas; Melėtas, giežsaid apmaudą už poetus, Anitas — už amatininkus ir valstybės vyrus, Likonas — už kalbovus. Taip esant, aš stebėčiaus, kaip jau pradžioje minėjau, jei man pavyktų tokiu trumpu laiku išrauti iš jūsų širdies toji paskalba, taip giliai tenai insikerėjusi. Šitai jums, atėniečiai, tikroji tiesa! Aš niekái nieko nuo jūsų nepaslėpiau, kalbėdamas nieko nenutylėjau. Ir betgi numanau, kad tuo būtent sukeliu prieš save neapykantą. Tatai yra kaip tik inrodymas, jog tiesą kalbu, jog šitokia yra paskalba prieš mane ir jog tokia yra jos priežastis. Dabar ar vėliau tardysite šią bylą, — visuomet rasite ją tokią, kokia mano išdėta.

XI. Περὶ μὲν οὖν ὧν οἱ πρῶτοί μου κατήγοροι κατηγόρουν, αὕτη ἔστω ἱκανὴ ἀπολογία πρὸς ὑμᾶς· πρὸς δὲ Μέλητον τὸν ἀγαθόν τε καὶ φιλόπολιν, ὥς φησι, καὶ τοὺς ὑστέρους μετὰ ταῦτα πειράσομαι ἀπολογεῖσθαι. αὖθις γὰρ δή, ὥσπερ ἑτέρων τούτων ὄντων κατηγόρων, λάβωμεν αὖ τὴν τούτων ἀντωμοσίαν. ἔχει δέ πως ὧδε. Σωκράτη φησὶν ἀδικεῖν τούς τε νέους διαφθείροντα καὶ θεούς, οὓς ἡ πόλις νομίζει, οὐ νομίζοντα, ἕτερα δὲ δαιμόνια καινά. τὸ μὲν δὴ ἔγκλημα τοιοῦτόν ἐστιν· τούτου δὲ τοῦ ἐγκλήματος ἓν ἕκαστον ἐξετάσωμεν.

Φησὶ γὰρ δὴ τοὺς νέους ἀδικεῖν με διαφθείροντα. ἐγὼ δέ γε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικεῖν φημὶ Μέλητον, ὅτι σπουδῇ χαριεντίζεται, ῥᾳδίως εἰς ἀγῶνας καθιστὰς ἀνθρώπους, περὶ πραγμάτων προσποιούμενος σπουδάζειν καὶ κήδεσθαι, ὧν οὐδὲν τούτῳ πώποτε ἐμέλησεν. ὡς δὲ τοῦτο οὕτως ἔχει, πειράσομαι καὶ ὑμῖν ἐπιδεῖξαι.

XII. Καί μοι δεῦρο, ὦ Μέλητε, εἰπέ· ἄλλο τι ἢ περὶ πολλοῦ ποιεῖ, ὅπως ὡς βέλτιστοι οἱ νεώτεροι ἔσονται;

ΜΕ. Ἔγωγε.

ΣΩ. Ἴθι δὴ νῦν εἰπὲ τούτοις, τίς αὐτοὺς βελτίους ποιεῖ; δῆλον γὰρ ὅτι οἶσθα, μέλον γέ σοι. τὸν μὲν γὰρ διαφθείροντα ἐξευρών, ὡς φής, ἐμὲ εἰσάγεις εἰς τουτουσὶ καὶ κατηγορεῖς· τὸν δὲ δὴ βελτίους ποιοῦντα

XI. Tik jau pakaks jums šito mano pasiteisinimo dėl skundų, kuriuos kėlė pirmieji mano kaltintojai. Dabar aš mėginsiu gintis nuo Melėto, nuo to gero ir, kaip jis sakosi, ištikimo šalies žmogaus, ir nuo paskesniųjų kaltintojų. Kadangi šie kaltintojai yra kaip ir nauji, tad paimkime iš eilės ir jų raštu inteiktą skundą. Jis maždaug šitoks: „Sokratas, — skelbia jis,— nusikalsta tuo, kad tvirkina jaunuomenę, kad netiki Dievų, kuriuos tiki šalis, bet garbina jų vietoje naujus“. Toks yra skundas. Išnagrinėkime jį dygsnis po dygsnio.

Aišku: jis sako, aš nusikalstąs, kad tvirkinąs jaunuolius, o aš sakau, vyrai atėniečiai, priešingai: Melėtas nusikalsta, nes jis daro juokus iš rimtų dalykų, nepagalvojęs tampydamas žmones po teismą ir apsimesdamas tarytum sirgte sergąs dėl tų dalykų, kurie jam galvoje niekuomet ir būti nėra buvę. Kad visa tai yra taip, pamėginsiu aš ir jums išrodyti.

XII. Na, Melėtai, eik šen ir pasakyk man: Ar tu nelaikai visų svarbiausiu dalyku, kad mūsų jaunuomenė būtų ko geriausia?

MELĖTAS. Žinoma, kad taip.

SOKRATAS. Gerai. Dabar pasakyk čia teisėjams, kas ją padaro geresnę. Juk, be abejo, tu žinai, nes jąja taip labai rūpinąsis. Tu sakai susekęs, kad aš ją tvirkinąs, ir dėl to atvedei čia mane kaip kaltininką in teisėjus; dabar pasakyk

ἴθι εἰπὲ καὶ μήνυσον αὐτοῖς, τίς ἐστιν. — ὁρᾷς, ὦ Μέλητε, ὅτι σιγᾷς καὶ οὐκ ἔχεις εἰπεῖν; καίτοι οὐκ αἰσχρόν σοι δοκεῖ εἶναι καὶ ἱκανὸν τεκμήριον οὗ δὴ ἐγὼ λέγω, ὅτι σοι οὐδὲν μεμέληκεν; ἀλλ' εἰπέ, ὠγαθέ, τίς αὐτοὺς ἀμείνους ποιεῖ;

ΜΕ. Οἱ νόμοι.

ΣΩ. 'Αλλ' οὐ τοῦτο ἐρωτῶ, ὦ βέλτιστε, ἀλλὰ τίς ἄνθρωπος, ὅστις πρῶτον καὶ αὐτὸ τοῦτο οἶδε, τοὺς νόμους.

ΜΕ. Οὗτοι, ὦ Σώκρατες, οἱ δικασταί.

ΣΩ. Πῶς λέγεις, ὦ Μέλητε; οἵδε τοὺς νέους παιδεύειν οἷοί τέ εἰσι καὶ βελτίους ποιοῦσιν;

ΜΕ. Μάλιστα.

ΣΩ. Πότερον ἅπαντες, ἢ οἱ μὲν αὐτῶν, οἱ δ' οὔ;

ΜΕ. Ἅπαντες.

ΣΩ. Εὖ γε νὴ τὴν Ἥραν λέγεις καὶ πολλὴν ἀφθονίαν τῶν ὠφελούντων. τί δὲ δή; οἵδε οἱ ἀκροαταὶ βελτίους ποιοῦσιν ἢ οὔ;

ΜΕ. Καὶ οὗτοι.

ΣΩ. Τί δὲ οἱ βουλευταί;

ΜΕ. Καὶ οἱ βουλευταί.

ΣΩ. 'Αλλ' ἄρα, ὦ Μέλητε, μὴ οἱ ἐν τῇ ἐκκλησίᾳ, οἱ ἐκκλησιασταί, διαφθείρουσι τοὺς νεωτέρους; ἢ κἀκεῖνοι βελτίους ποιοῦσιν ἅπαντες;

ΜΕ. Κἀκεῖνοι.

ΣΩ. Πάντες ἄρα, ὡς ἔοικεν, 'Αθηναῖοι καλοὺς κἀγαθοὺς ποιοῦσι πλὴν ἐμοῦ, ἐγὼ δὲ μόνος διαφθείρω. οὕτω λέγεις;

ir tą, kurs daro ją geresnę, paminėk vardu teisėjams, kas jis toks.

Matai, Melėtai, tu tyli ir neturi ko atsakyti. Argi tu nejauti, kad tau gėda ir kad savo tylėjimu tu patvirtini mano žodžius, jog tas dalykas niekuomet nėra tau rūpėjęs? Tat pasakyk, mielasai, kas ją geresnę padaro?

MELĖTAS. Instatymai.

SOKRATAS. Mano tu mieliausias, aš klausiu ne to, bet klausiu, kas per žmogus, kurs visų pirma, žinoma, išmano ir tai — ir instatymus.

MELĖTAS. Šitie, Sokratai, — teisėjai.

SOKRATAS. Ką sakai Melėtai? Teisėjai geba auklėti jaunuomenę ir ją daryti geresnę?

MELĖTAS. Taip, be abejo.

SOKRATAS. Visi jie ar tik kaikurie, o kiti ne?

MELĖTAS. Visi.

SOKRATAS. Hera žino, kaip tu gražiai kalbi! Tiek daug esama naudingų padėjėjų. Kas gi toliau? Ar šitie klausytojai irgi daro jaunuomenę geresnę, ar ne?

MELĖTAS. Jie irgi.

SOKRATAS. O Tarybos nariai?

MELĖTAS. Tarybos nariai taippat.

SOKRATAS. O Tautos susirinkimo žmonės, Melėtai, tie vyrai gal tvirkina jaunuomenę? O gal ir tie visi daro ją geresnę?

MELĖTAS. Ir tie daro geresnę.

SOKRATAS. Vadinasi, visi atėniečiai gražiai, dorai auklėja jaunuomenę, tik aš ne; tik aš vienas ją tvirkinu. Juk taip tu sakai?

ΜΕ. Πάνυ σφόδρα ταῦτα λέγω.

ΣΩ. Πολλήν γέ μου κατέγνωκας δυστυχίαν. καί μοι ἀπόκριναι· ἦ καὶ περὶ ἵππους οὕτω σοι δοκεῖ ἔχειν; οἱ μὲν βελτίους ποιοῦντες αὐτοὺς πάντες ἄνθρωποι εἶναι, εἷς δέ τις ὁ διαφθείρων; ἢ τοὐναντίον τούτου πᾶν εἷς μέν τις ὁ βελτίους οἷός τ' ὢν ποιεῖν ἢ πάνυ ὀλίγοι, οἱ ἱππικοί, οἱ δὲ πολλοί, ἐάνπερ ξυνῶσι καὶ χρῶνται ἵπποις, διαφθείρουσιν; οὐχ οὕτως ἔχει, ὦ Μέλητε, καὶ περὶ ἵππων καὶ τῶν ἄλλων ἁπάντων ζώων; — πάντως δήπου, ἐάν τε σὺ καὶ Ἄνυτος οὐ φῆτε ἐάν τε φῆτε· πολλὴ γὰρ ἄν τις εὐδαιμονία εἴη περὶ τοὺς νέους, εἰ εἷς μὲν μόνος αὐτοὺς διαφθείρει, οἱ δ' ἄλλοι ὠφελοῦσιν. ἀλλὰ γάρ, ὦ Μέλητε, ἱκανῶς ἐπιδείκνυσαι, ὅτι οὐδεπώποτε ἐφρόντισας τῶν νέων, καὶ σαφῶς ἀποφαίνεις τὴν σαυτοῦ ἀμέλειαν, ὅτι οὐδέν σοι μεμέληκεν, περὶ ὧν ἐμὲ εἰσάγεις.

XIII. Ἔτι δὲ ἡμῖν εἰπέ, ὦ πρὸς Διός, Μέλητε, πότερόν ἐστιν οἰκεῖν ἄμεινον ἐν πολίταις χρηστοῖς ἢ πονηροῖς; — ὦ τᾶν, ἀπόκριναι· οὐδὲν γάρ τοι χαλεπὸν ἐρωτῶ. οὐχ οἱ μὲν πονηροὶ κακόν τι ἐργάζονται τοὺς ἀεὶ ἐγγυτάτω ἑαυτῶν ὄντας, οἱ δ' ἀγαθοὶ ἀγαθόν τι;

ΜΕ. Πάνυ γε.

ΣΩ. Ἔστιν οὖν ὅστις βούλεται ὑπὸ τῶν ξυνόντων βλάπτεσθαι μᾶλλον ἢ ὠφελεῖσθαι; ἀπόκριναι, ὦ ἀγαθέ· καὶ γὰρ ὁ νόμος κελεύει ἀποκρίνεσθαι. ἔσθ'

MELĖTAS. Tikrai taip sakau.

SOKRATAS. Kokiu bjauriai nelaimingu tu mane laikai! Bet atsakinėk toliau. Ar, tavo nuomone, yra ta pat, kalbant ir apie arklius? Visi žmonės juos gerina, o tik vienas kas juos gadina? Ar visai priešingai yra: rasit vienas kas moka juos gerinti arba tik nedaugelis, būtent arklininkai, o visi kiti, turėdami reikalo su arkliais ir jais naudodamies, juos nualina? Ar nėra taippat, Melėtai, su arkliais ir su visais kitais gyvais sutvėrimais? Šiaip ar taip kalbėtute, tu ir Anitas, yra visai ta pat. Tikrai didelė laimė būtų jaunuomenei, jei tik vienas ją tetvirkintų, o visi kiti ją skatintų geran. Pagaliau, Melėtai, tu pakankamai išrodei, kad jaunuomenė tau niekuomet nerūpėjo, ir tu aiškiai išsiduodi, kad tau nei motais tie dalykai, dėl kurių čia mane tampai po teismą.

XIII. Dar pasakai mums, dėl Dzeuso, Melėtai, ar su taurais ar su netaurais žmonėmis geriau gyventi? Atsakai, mano mielasai, nes mano klausymas negi sunkus. Ar ne tiesa, netaurieji visuomet daro ką pikta savo artimiesiems, o padorieji — visuomet ką gera?

MELĖTAS. Tikra tiesa.

SOKRATAS. Vadinasi, yra toks žmogus, kurs nori būti verčiau pikta negu gera daromas tų, kurių tarpe jam tenka gyventi?.. Atsakyk, mano mielasai, juk ir instatymas liepia atsakyti.

ὅστις βούλεται βλάπτεσθαι;

ΜΕ. Οὐ δῆτα.

ΣΩ. Φέρε δή, πότερον ἐμὲ εἰσάγεις δεῦρο ὡς διαφθείροντα τοὺς νέους καὶ πονηροτέρους ποιοῦντα ἑκόντα ἢ ἄκοντα;

ΜΕ Ἑκόντα ἔγωγε.

ΣΩ. Τί δῆτα, ὦ Μέλητε; τοσοῦτον σὺ ἐμοῦ σοφώτερος εἶ τηλικούτου ὄντος τηλικόσδε ὤν, ὥστε σὺ μὲν ἔγνωκας, ὅτι οἱ μὲν κακοὶ κακόν τι ἐργάζονται ἀεὶ τοὺς μάλιστα πλησίον ἑαυτῶν, οἱ δὲ ἀγαθοὶ ἀγαθόν, ἐγὼ δὲ δὴ εἰς τοσοῦτον ἀμαθίας ἥκω, ὥστε καὶ τοῦτ' ἀγνοῶ, ὅτι, ἐάν τινα μοχθηρὸν ποιήσω τῶν ξυνόντων, κινδυνεύσω κακόν τι λαβεῖν ὑπ' αὐτοῦ, ὥστε τοῦτο τὸ τοσοῦτον κακὸν ἑκὼν ποιῶ, ὡς φῂς σύ; ταῦτα ἐγώ σοι οὐ πείθομαι, ὦ Μέλητε, οἶμαι δὲ οὐδὲ ἄλλον ἀνθρώπων οὐδένα· ἀλλ' ἢ οὐ διαφθείρω, ἤ, εἰ διαφθείρω, ἄκων, ὥστε σύ γε κατ' ἀμφότερα ψεύδει. εἰ δὲ ἄκων διαφθείρω, τῶν τοιούτων καὶ ἀκουσίων ἁμαρτημάτων οὐ δεῦρο νόμος εἰσάγειν ἐστίν, ἀλλὰ ἰδίᾳ λαβόντα διδάσκειν καὶ νουθετεῖν· δῆλον γὰρ ὅτι, ἐὰν μάθω, παύσομαι ὅ γε ἄκων ποιῶ. σὺ δὲ ξυγγενέσθαι μέν μοι καὶ διδάξαι ἔφυγες καὶ οὐκ ἠθέλησας, δεῦρο δὲ εἰσάγεις, οἷ νόμος ἐστὶν εἰσάγειν τοὺς κολάσεως δεομένους, ἀλλ' οὐ μαθήσεως.

XIV. Ἀλλὰ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο μὲν δῆλον ἤδη ἐστίν, ὃ ἐγὼ ἔλεγον, ὅτι Μελήτῳ

Ar yra toks žmogus, kurs norėtų būti pikta daromas?

MELĖTAS. Žinoma, kad nėra.

SOKRATAS. Tegu... Tu mane čia atvedei teisman už tai, kad aš tvirkinąs ir piktinąs jaunuomenę tyčiomis ar netyčiomis?

MELĖTAS. Žinoma, kad tyčiomis.

SOKRATAS. Kaipgi, Melėtai? Toks jaunas būdamas, tu esi už mane, senatvės susilaukusį, daugiau prityręs, kad žinai, jog piktieji daro pikta savo artimiesiems ir gerieji — gera, o aš, mat, toks neišmanėlis, kad nenuvokiu dargi to, jog aš, jei vieną iš tų, su kuriais suseinu, padarysiu nevalyvą, gausiu pikto ko pritirti iš jo? Ir tavo nuomone, aš taip negudriai, piktai elgiąsis tyčia? Ne, Melėtai, čia aš netikiu tavim, ir joks kitas žmogus, manau, netiki. Arba aš netvirkinu jaunuomenės arba, jei tvirkinu, tai netyčiomis. Vadinasi, šiaip ar taip vertus, tu meluoji. Jei nenoromis ką tvirkinu, tai instatymas neverčia šaukti tieson už tokius nenorėtus nusižengimus, priešingai, tuomet reikia, nuošaliai pasiėmus kaltininką, jis pamokyti ir sudrausti. Juk aišku, pamokytas aš liausiuos daręs tai, ką netyčiomis darau. O tu vengei ir nepanorėjai su manim susieiti ir mane pamokyti; tu reikalauji čia mane teisman, kur vedami instatymu tie žmonės, kurie bausti reikia, o ne mokyti.

XIV. Bet jau iš to, vyrai atėniečiai, ką aš kalbėjau, yra aišku, jog tie dalykai Melėtui nei

τούτων οὔτε μέγα οὔτε μικρὸν πώποτε ἐμέλησεν· ὅμως δὲ δὴ λέγε ἡμῖν, πῶς με φῂς διαφθείρειν, ὦ Μέλητε, τοὺς νεωτέρους; ἢ δῆλον δὴ ὅτι κατὰ τὴν γραφήν, ἣν ἐγράψω, θεοὺς διδάσκοντα μὴ νομίζειν, οὓς ἡ πόλις νομίζει, ἕτερα δὲ δαιμόνια καινά; οὐ ταῦτα λέγεις, ὅτι διδάσκων διαφθείρω;

ΜΕ. Πάνυ μὲν οὖν σφόδρα ταῦτα λέγω.

ΣΩ. Πρὸς αὐτῶν τοίνυν, ὦ Μέλητε, τούτων τῶν θεῶν, ὧν νῦν ὁ λόγος ἐστίν, εἰπὲ ἔτι σαφέστερον καὶ ἐμοὶ καὶ τοῖς ἀνδράσι τουτοισί. ἐγὼ γὰρ οὐ δύναμαι μαθεῖν, πότερον λέγεις διδάσκειν με νομίζειν εἶναί τινας θεούς — καὶ αὐτὸς ἄρα νομίζω εἶναι θεούς, καὶ οὐκ εἰμὶ τὸ παράπαν ἄθεος οὐδὲ ταύτῃ ἀδικῶ — οὐ μέντοι οὕσπερ γε ἡ πόλις, ἀλλὰ ἑτέρους, καὶ τοῦτ᾽ ἔστιν ὅ μοι ἐγκαλεῖς, ὅτι ἑτέρους, ἢ παντάπασί με φῂς οὔτε αὐτὸν νομίζειν θεοὺς τούς τε ἄλλους ταῦτα διδάσκειν.

ΜΕ. Ταῦτα λέγω, ὡς τὸ παράπαν οὐ νομίζεις θεούς.

ΣΩ. Ὦ θαυμάσιε Μέλητε, ἵνα τι ταῦτα λέγεις; οὐδὲ ἥλιον οὐδὲ σελήνην ἄρα νομίζω θεοὺς εἶναι, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι;

ΜΕ. Μὰ Δί᾽, ὦ ἄνδρες δικασταί, ἐπεὶ τὸν μὲν ἥλιον λίθον φησὶν εἶναι, τὴν δὲ σελήνην γῆν.

ΣΩ. Ἀναξαγόρου οἴει κατηγορεῖν, ὦ φίλε Μέλητε, καὶ οὕτω καταφρονεῖς τῶνδε καὶ οἴει αὐτοὺς ἀπείρους γραμμάτων εἶναι, ὥστε οὐκ εἰδέναι, ὅτι τὰ Ἀναξαγόρου

kiek ir niekuomet nerūpėjo. Tačiau sakyk mums, Melėtai, kaip, tavo nuomone, aš tvirkinu jaunuomenę. Juk iš tavo skundo, kurį inteikei, išeina, kad aš mokąs tikėti ne tuos Dievus, kuriuos tiki šalis, bet kitus, naujus Dievus? Ar tik ne tokiu mokslu, tu sakai, aš tvirkinąs jaunuomenę?

MELĖTAS. Taip, aš griežtai tvirtinu tai.

SOKRATAS. Tai dėl jų, Melėtai, dėl tų Dievų, apie kuriuos dabar kalbame, dar aiškiau pasakai man ir šitiems vyrams. Mat, aš negaliu suprasti, ar tu sakai, kad aš mokąs tikėti kaikuriuos Dievus — tada ir aš pats, žinoma, tikiu juos, vadinasi, nėsu visiškas bedievis ir tuo nėsu nusikaltęs, tik jau tikiu ne mūsų šalies, bet kitus Dievus, ir tu mane kaltini tų kitų Dievų tikėjimu, — ar tu manai, kad aš pats iš viso netikiu Dievų ir kitus mokau jų netikėti?

MELĖTAS. Taip, aš tvirtinu, kad tu iš viso netiki Dievų.

SOKRATAS. Keistas tu žmogus, Melėtai! Ką tu nori tais žodžiais pasakyti? Kad aš nelaikąs, žinoma, nei saulės, nei mėnesio Dievais, kaip kiti žmonės?

MELĖTAS. Dzeusas žino, teisėjai, tikrai taip yra: jis sako saulė esanti akmuo, o mėnuo — žemė.

SOKRATAS. Matyti, Anaksagorą tariesi kaltinąs, Melėtai mielasai! Tokiais nenuovokomis tu laikai šiuos teisėjus, ir jie, tavo nuomone, tiek nenusimaną apie raštus, kad ir žinoti nežiną, jog Kladzomėnų Anaksagoro knygose

βιβλία τοῦ Κλαζομενίου γέμει τούτων τῶν λόγων; καὶ δὴ καὶ οἱ νέοι ταῦτα παρ' ἐμοῦ μανθάνουσιν, ἃ ἔξεστιν ἐνίοτε, εἰ πάνυ πολλοῦ, δραχμῆς ἐκ τῆς ὀρχήστρας πριαμένους Σωκράτους καταγελᾶν, ἐὰν προσποιῆται ἑαυτοῦ εἶναι, ἄλλως τε καὶ οὕτως ἄτοπα ὄντα; ἀλλ' ὦ πρὸς Διός, οὑτωσί σοι δοκῶ οὐδένα νομίζειν θεὸν εἶναι;

ΜΕ. Οὐ μέντοι μὰ Δία οὐδ' ὁπωστιοῦν.

ΣΩ. Ἄπιστός γ' εἶ, ὦ Μέλητε, καὶ ταῦτα μέντοι, ὡς ἐμοὶ δοκεῖς, σαυτῷ. ἐμοὶ γὰρ δοκεῖ οὑτοσί, ὦ ἄνδρες Ἀθηναῖοι, πάνυ εἶναι ὑβριστὴς καὶ ἀκόλαστος καὶ ἀτεχνῶς τὴν γραφὴν ταύτην ὕβρει τινὶ καὶ ἀκολασίᾳ καὶ νεότητι γράψασθαι. ἔοικε γὰρ ὥσπερ αἴνιγμα ξυντιθέντι διαπειρωμένῳ· ἆρα γνώσεται Σωκράτης ὁ σοφὸς δὴ ἐμοῦ χαριεντιζομένου καὶ ἐναντί' ἐμαυτῷ λέγοντος, ἢ ἐξαπατήσω αὐτὸν καὶ τοὺς ἄλλους τοὺς ἀκούοντας; οὗτος γὰρ ἐμοὶ φαίνεται τὰ ἐναντία λέγειν αὐτὸς ἑαυτῷ ἐν τῇ γραφῇ, ὥσπερ ἂν εἰ εἴποι· ἀδικεῖ Σωκράτης θεοὺς οὐ νομίζων, ἀλλὰ θεοὺς νομίζων. καίτοι τοῦτό ἐστι παίζοντος.

XV. Ξυνεπισκέψασθε δή, ὦ ἄνδρες, ᾗ μοι φαίνεται ταῦτα λέγειν· σὺ δὲ ἡμῖν ἀπόκριναι, ὦ Μέλητε· ὑμεῖς δέ, ὅπερ κατ' ἀρχὰς ὑμᾶς παρῃτησάμην, μέμνησθέ μοι μὴ θορυβεῖν, ἐὰν ἐν τῷ εἰωθότι τρόπῳ τοὺς λόγους ποιῶμαι.

Ἔστιν ὅστις ἀνθρώπων, ὦ Μέλητε, ἀνθρώπεια μὲν νομίζει πράγματ' εἶναι, ἀνθρώπους δὲ οὐ νομίζει; —

yra eibės tokių minčių? Vadinasi, ir jaunuoliai išmoksta iš manęs tų gudrybių, kurių jie gali kartais nusipirkti Orkėstroje, jau labai brangiai skaitant, už drachmę ir išjuokti Sokratą, jei šis jas savintųs, kad tos gudrybės taip keistos! Bet, dėl Dzeuso, ar tau tikrai taip rodosi, kad aš jokio Dievo netikiu?

MELĖTAS. Taip, dėl Dzeuso, tu visiškai netiki jokio Dievo.

SOKRATAS. Tu, Melėtai, man regis, ir pats savim netiki. Iš tiesų aš manau, atėniečiai, kad šitas vyras yra akiplėša, visai išdykęs berniokas, kad jis inteikė tą skundą tiesiog per savo paikumą ir per savo jauno amžiaus trakumą. Jis, tarytum, prasimanė mįslę ir mėgina: „Ar pastebės išmintingasis Sokratas, kad aš juokuoju su juo, pats sau prieštaraudamas, ar aš apgausiu jį ir kitus klausytojus?“ Agi kaltintojas, man regis, pats sau prieštarauja savo skundo rašte, tarytum sakyte sakydamas: „Sokratas yra kaltas, kad netiki Dievų, bet kad ir tiki Dievus“. Kas gi tai būtų, jei ne juokavimas!

XV. Tad pagalvokite, vyrai, drauge su manim, kodėl man jo žodžių prasmė tokia atrodo. O tu, Melėtai, atsakinėk mums. Be to, jūs atsiminkite, ko aš prašiau iš jūsų pat pradžioje: nekelti triukšmo man kalbant, kaip esu inpratęs.

Ar yra Melėtai toks žmogus, kurs tiki žmonių padarus, bet netiki žmonių? Tegu jis

ἀποκρινέσθω, ὦ ἄνδρες, καὶ μὴ ἄλλα καὶ ἄλλα θορυβείτω· ἔσθ' ὅστις ἵππους μὲν οὐ νομίζει εἶναι, ἱππικὰ δὲ πράγματα; ἢ αὐλητὰς μὲν οὐ νομίζει, αὐλητικὰ δὲ πράγματα; — οὐκ ἔστιν, ὦ ἄριστε ἀνδρῶν· εἰ μὴ σὺ βούλει ἀποκρίνασθαι, ἐγώ σοι λέγω καὶ τοῖς ἄλλοις τουτοισί. ἀλλὰ τὸ ἐπὶ τούτῳ γε ἀπόκριναι· ἔσθ' ὅστις δαιμόνια μὲν νομίζει πράγματ' εἶναι, δαίμονας δὲ οὐ νομίζει;

ΜΕ. Οὐκ ἔστιν.

ΣΩ. Ὡς ὤνησας, ὅτι μόγις ἀπεκρίνω ὑπὸ τουτωνὶ ἀναγκαζόμενος. οὐκοῦν δαιμόνια μὲν φῄς με καὶ νομίζειν καὶ διδάσκειν, εἴτ' οὖν καινὰ εἴτε παλαιά· ἀλλ' οὖν δαιμόνιά γε νομίζω κατὰ τὸν σὸν λόγον, καὶ ταῦτα καὶ διωμόσω ἐν τῇ ἀντιγραφῇ· εἰ δὲ δαιμόνια νομίζω, καὶ δαίμονας δήπου πολλὴ ἀνάγκη νομίζειν μέ ἐστιν· οὐχ οὕτως ἔχει; — ἔχει δή· τίθημι γάρ σε ὁμολογοῦντα, ἐπειδὴ οὐκ ἀποκρίνει. τοὺς δὲ δαίμονας οὐχὶ ἤτοι θεούς γε ἡγούμεθα ἢ θεῶν παῖδας; φῂς ἢ οὔ;

ΜΕ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν εἴπερ δαίμονας ἡγοῦμαι, ὡς σὺ φῄς, εἰ μὲν θεοί τινές εἰσιν οἱ δαίμονες, τοῦτ' ἂν εἴη, ὃ ἐγώ φημί σε αἰνίττεσθαι καὶ χαριεντίζεσθαι, θεοὺς οὐχ ἡγούμενον φάναι ἐμὲ θεοὺς αὖ ἡγεῖσθαι πάλιν, ἐπειδήπερ γε δαίμονας ἡγοῦμαι· εἰ δ' αὖ οἱ δαίμονες θεῶν παῖδές εἰσι νόθοι τινὲς ἢ ἐκ νυμφῶν ἢ ἔκ τινων ἄλλων, ὧν δὴ καὶ λέγονται, τίς ἂν ἀνθρώπων θεῶν μὲν παῖδας ἡγοῖτο εἶναι, θεοὺς δὲ μή; ὁμοίως γὰρ ἂν ἄτοπον εἴη, ὥσπερ ἂν εἴ τις ἵππων μὲν παῖδας ἡγοῖτο

atsako, vyrai, užuot nuolat murmėjęs? Yra bent vienas, kurs netiki arklių, bet tiki arklių darbus? Arba kurs netiki vamzdininkų, o tiki vamzdininkų žaismą. Ne, mano geriausias, tokio žmogaus nėra. Jei tu nenori atsakyti, tai aš pasakysiu tau ir kitiems, čia esantiems. Tačiau atsakyk tu man bent šitan klausiman: Ar yra toks, kurs tiki dievenių galybę, bet netiki dievenių?

MELĖTAS. Nėra.

SOKRATAS. Kaip gerai, kad pagaliau ryžaisi atsakyti, nors ir teisėjų verčiamas! Vadinasi, tu tvirtini, kad aš tikįs ir mokąs tikėti naujųjų ir senųjų dievenių galybe? Šiaip ar taip, tavo nuomone, aš tikiu dievenybę, nes tu ir priesaika tai paliudijai savo skundo rašte. Bet jei aš tikiu dievenių darbus, tai man, be abejo, reikia tikėti ir dieveniai. Argi ne taip? Žinoma, taip. Spėju, kad sutinki su manim, nes neatsakai. Ar dievenių nelaikome Dievais arba Dievų vaikais? Taip ar ne?

MELĖTAS. Tikrai taip.

SOKRATAS. Taigi, jei aš, kaip tu sakai, tikiu dievenius, o dieveniai yra šioki ar toki Dievai, tai išeitų, kaip aš sakau, kad tu mįslėmis žaidi ir juokiesi iš mūsų: mat, tavo tvirtinimu, netikėdamas Dievų, aš juos vėl tikįs, kadangi tikiu dievenius. Jei toliau, dieveniai yra Dievų vaikai, būtent priguleti su nimfomis ar su kitomis kuriomis esybėmis, kaip tatai yra pasakojama, tai kuris žmogus galėtų tikėti, kad esama Dievų vaikų, o Dievų nesama? Tai juk būtų tokia pat nesąmonė, kaip ir ta, jei kas tikėtų arklių bei

ἢ καὶ ὄνων, ἵππους δὲ καὶ ὄνους μὴ ἡγοῖτο εἶναι. ἀλλ', ὦ Μέλητε, οὐκ ἔστιν ὅπως σὺ ταῦτα οὐχὶ ἀποπειρώμενος ἡμῶν ἐγράψω τὴν γραφὴν ταύτην ἢ ἀπορῶν, ὅ τι ἐγκαλοῖς ἐμοὶ ἀληθὲς ἀδίκημα· ὅπως δὲ σύ τινα πείθοις ἂν καὶ σμικρὸν νοῦν ἔχοντα ἀνθρώπων, ὡς οὐ τοῦ αὐτοῦ ἔστιν καὶ δαιμόνια καὶ θεῖα ἡγεῖσθαι, καὶ αὖ τοῦ αὐτοῦ μήτε δαίμονας μήτε θεοὺς μήτε ἥρωας, οὐδεμία μηχανή ἐστιν.

XVI. Ἀλλὰ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς μὲν ἐγὼ οὐκ ἀδικῶ κατὰ τὴν Μελήτου γραφήν, οὐ πολλῆς μοι δοκεῖ εἶναι ἀπολογίας, ἀλλὰ ἱκανὰ καὶ ταῦτα· ὃ δὲ καὶ ἐν τοῖς ἔμπροσθεν ἔλεγον, ὅτι πολλή μοι ἀπέχθεια γέγονε καὶ πρὸς πολλούς, εὖ ἴστε ὅτι ἀληθές ἐστιν. καὶ τοῦτ' ἔστιν, ὃ ἐμὲ αἱρήσει, ἐάνπερ αἱρῇ, οὐ Μέλητος οὐδὲ Ἄνυτος, ἀλλ' ἡ τῶν πολλῶν διαβολή τε καὶ φθόνος. ἃ δὴ καὶ ἄλλους πολλοὺς καὶ ἀγαθοὺς ἄνδρας ᾕρηκεν, οἶμαι δὲ καὶ αἱρήσειν· οὐδὲν δὲ δεινὸν μὴ ἐν ἐμοὶ στῇ.

Ἴσως δ' ἂν οὖν εἴποι τις· εἶτ' οὐκ αἰσχύνει, ὦ Σώκρατες, τοιοῦτον ἐπιτήδευμα ἐπιτηδεύσας, ἐξ οὗ κινδυνεύεις νυνὶ ἀποθανεῖν;' ἐγὼ δὲ τούτῳ ἂν δίκαιον λόγον ἀντείποιμι, ὅτι οὐ καλῶς λέγεις, ὦ ἄνθρωπε, εἰ οἴει δεῖν κίνδυνον ὑπολογίζεσθαι τοῦ ζῆν ἢ τεθνάναι ἄνδρα, ὅτου τι καὶ σμικρὸν ὄφελός ἐστιν, ἀλλ' οὐκ ἐκεῖνο μόνον σκοπεῖν, ὅταν πράττῃ, πότερον δίκαια ἢ ἄδικα πράττει καὶ ἀνδρὸς ἀγαθοῦ ἔργα ἢ κακοῦ.

asilų padermę, būtent pusasilius, o netikėtų nei arklių, nei asilų. Ne, Melėtai, arba tu inteikei šitą skundą, norėdamas mus taip gudriai išmėginti, arba nežinojai, kaip surasti tikroji kliaudė, kurią galėtumei man prikišti. Kad tau pavyktų inkalbėti kam, turinčiam nors truputį nuovokos, jog tas pats žmogus gali tikėti dievenių bei Dievų darbus ir jog vėl tas pats gali netikėti nei dievenių, nei Dievų, nei pusdievių, — tai visai negalimas dalykas.

XVI. Taip esant, Atėnų vyrai, man regis, nebėra daugiau reikalo teisintis dėl Melėto skundo, kad aš nėsu nusikaltęs: juk gana ir to, ką esu pasakęs. O kai dėl to dalyko, apie kurį pirma kalbėjau, būtent, kad aš esu daug ir daugeliui insipykęs, tai gerai žinokite, jog ir tai tiesa yra. Šitai kas mane pražudys, jeigu jau pražudys: ne Melėtas ir ne Anitas, bet piktoji minios paskalba ir neapykanta. Jos pražudžiusios daug kitų ir gerų žmonių, ir manáu, kad dar pražudys. Tad nėra ko ir bijoti, kad ties manim sustos.

Gal kas pasakytų: „ Ar tau ne gėda, Sokratai, dirbus tokį darbą, už kurį tau yra pavojaus šiandie numirti". Aš teisingai tokiam galėčiau šiaip atšauti: „Negerai kalbi, žmogau, manydamas, jog vyras, iš kurio esti šiek tiek naudos, privaląs atsižvelgti in pavojų tarp gyvybės ir mirties, o ne vien to žiūrėti, ar, darydamas ką, teisingai ar neteisingai daro ir ar jo darbai su-

φαῦλοι γὰρ ἂν τῷ γε σῷ λόγῳ εἶεν τῶν ἡμιθέων ὅσοι ἐν Τροίᾳ τετελευτήκασιν, οἵ τε ἄλλοι καὶ ὁ τῆς Θέτιδος ὑός, ὃς τοσοῦτον τοῦ κινδύνου κατεφρόνησε παρὰ τὸ αἰσχρόν τι ὑπομεῖναι, ὥστε ἐπειδὴ εἶπεν ἡ μήτηρ αὐτῷ προθυμουμένῳ Ἕκτορα ἀποκτεῖναι, θεὸς οὖσα, οὑτωσί πως, ὡς ἐγὼ οἶμαι· εἰ τιμωρήσεις Πατρόκλῳ τῷ ἑταίρῳ τὸν φόνον καὶ Ἕκτορα ἀποκτενεῖς, αὐτὸς ἀποθανεῖ· αὐτίκα γάρ τοι, φησί, μεθ' Ἕκτορα πότμος ἑτοῖμος· ὁ δὲ ταῦτα ἀκούσας τοῦ μὲν θανάτου καὶ τοῦ κινδύνου ὠλιγώρησε, πολὺ δὲ μᾶλλον δείσας τὸ ζῆν κακὸς ὢν καὶ τοῖς φίλοις μὴ τιμωρεῖν αὐτίκα, φησί, τεθναίην δίκην ἐπιθεὶς τῷ ἀδικοῦντι, ἵνα μὴ ἐνθάδε μένω καταγέλαστος παρὰ νηυσὶ κορωνίσιν ἄχθος ἀρούρης. μὴ αὐτὸν οἴει φροντίσαι θανάτου καὶ κινδύνου;

Οὕτω γὰρ ἔχει, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ ἀληθείᾳ· οὗ ἄν τις ἑαυτὸν τάξῃ ἡγησάμενος βέλτιστον εἶναι ἢ ὑπ' ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ, ὡς ἐμοὶ δοκεῖ, μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον μήτε θάνατον μήτε ἄλλο μηδὲν πρὸ τοῦ αἰσχροῦ.

XVII. Ἐγὼ οὖν δεινὰ ἂν εἴην εἰργασμένος, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ, ὅτε μέν με οἱ ἄρχοντες ἔταττον, οὓς ὑμεῖς εἵλεσθε ἄρχειν μου, καὶ ἐν Ποτειδαίᾳ καὶ ἐν Ἀμφιπόλει καὶ ἐπὶ Δηλίῳ, τότε μέν, οὗ ἐκεῖνοι ἔταττον, ἔμενον ὥσπερ καὶ ἄλλος τις καὶ ἐκινδύνευον

tinka su tauro ar netauro vyro vardu. Tavo nuomone, būtų, mat, nedori visi tie pusdieviai, kurie ties Troja galą yra gavę, jų tarpe visų labiausiai Tetidos sūnus, kurs menkniekiu telaikė pavojų prieš betkokią nešlovę, kuri būtų tekusi kentėti. Jo motina, būdama deivė, jam insigeidus užmušti Hektorą, pasakė, man regis, maždaug šitaip: „Mano tu vaike, jei tu keršysi už savo draugo Patroklo mirtį ir nužudysi Hektorą, tai ir pats numirsi. Agi ir tau, — sakė ji, — tuojau po Hektoro toks galas skirtas". Išgirdęs tokį atkalbinėjimą, jis betgi ir paisyti nepaisė nei mirties, nei pavojaus, nes jam daug baisiau atrodė gyventi baikštuoliui, neatkeršijusiam už savo draugus. „Verčiau man, — jis sako, — tuojau mirti, nubaudus tą netaurėlį, kad čionai nelikčiau išjuoktas šalia rystųjų laivų, benaudis žemės grozdas". Juk nemanai, kad jis sielojos dėl mirties ir pavojaus? Štai kaip yra iš tikrųjų, Atėnų vyrai: kur pats save kas pasistato, insitikinęs, kad toks jo pasirinkimas geriausias, arba kur jis esti pastatytas viršininko, ten jam reikia, mano nuomone, ištverti ir drąsiai sutikti pavojus, visai nepaisant, išskyrus nešlovę, nei mirties, nei kito ko.

XVII. Kitaip darydamas, atėniečiai, nevalyvai būčiau pasielgęs. Mat, kai karo vadai, jūsų išrinkti mano viršininkais, skyrė man vietą ties Poteidaja, ties Amfipoliu ir ties Dėlijum, tai aš, kaip ir kitas kuris, ištvėriau ten, kur jie ma-

ἀποθανεῖν, τοῦ δὲ θεοῦ τάττοντος, ὡς ἐγὼ ᾠήθην τε καὶ ὑπέλαβον, φιλοσοφοῦντά με δεῖν ζῆν καὶ ἐξετάζοντα ἐμαυτὸν καὶ τοὺς ἄλλους, ἐνταῦθα δὲ φοβηθεὶς ἢ θάνατον ἢ ἄλλο ὁτιοῦν πρᾶγμα λίποιμι τὴν τάξιν. δεινὸν τἂν εἴη, καί ὡς ἀληθῶς τότ' ἄν με δικαίως εἰσάγοι τις εἰς δικαστήριον, ὅτι οὐ νομίζω θεοὺς εἶναι, ἀπειθῶν τῇ μαντείᾳ καὶ δεδιὼς θάνατον καὶ οἰόμενος σοφὸς εἶναι οὐκ ὤν.

Τὸ γά ρτοι θάνατον δεδιέναι, ὦ ἄνδρες, οὐδὲν ἄλλο ἐστὶν ἢ δοκεῖν σοφὸν εἶναι μὴ ὄντα· δοκεῖν γὰρ εἰδέναι ἐστίν, ἃ οὐκ οἶδεν. οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον, οὐδ' εἰ τυγχάνει τῷ ἀνθρώπῳ πάντων μέγιστον ὂν τῶν ἀγαθῶν, δεδίασι δ' ὡς εὖ εἰδότες, ὅτι μέγιστον τῶν κακῶν ἐστι. καὶ τοῦτο πῶς οὐκ ἀμαθία ἐστὶν αὕτη ἡ ἐπονείδιστος, ἡ τοῦ οἴεσθαι εἰδέναι ἃ οὐκ οἶδεν; ἐγὼ δ', ὦ ἄνδρες, τούτῳ καὶ ἐνταῦθα ἴσως διαφέρω τῶν πολλῶν ἀνθρώπων, καὶ εἰ δή τῳ σοφώτερός του φαίην εἶναι, τούτῳ ἄν, ὅτι οὐκ εἰδὼς ἱκανῶς περὶ τῶν ἐν Ἅιδου οὕτω καὶ οἴομαι οὐκ εἰδέναι· τὸ δὲ ἀδικεῖν καὶ ἀπειθεῖν τῷ βελτίονι, καὶ θεῷ καὶ ἀνθρώπῳ, ὅτι κακὸν καὶ αἰσχρόν ἐστιν, οἶδα. πρὸ οὖν τῶν κακῶν, ὧν οἶδα ὅτι κακά ἐστιν, ἃ μὴ οἶδα εἰ ἀγαθὰ ὄντα τυγχάνει, οὐδέποτε φοβήσομαι οὐδὲ φεύξομαι.

ne statė, ir buvau mirties pavojuje; o kai dabar Dievas reikalauja, — taip aš maniau ir spėjau, — kad aš kol gyvas tiesos ieškočiau, save ir kitus trukdyčiau, tai aš, pabugęs mirties ar šiaip jau kokio vargo, galėčiau palikti man skirtą vietą! Toks elgesys būtų tikrai nevalyvas, tuomet betkas galėtų visai teisingai statyti mane prieš teismą užtai, jog netikįs Dievų, kadangi neklausąs žiniuonės žosmės, bijąs mirties ir laikąs save išmintingu, nebūdamas išmintingas.

Juk bijoti, vyrai, mirties, yra ne kas kita, kaip dėtis išmintingu, nors toksai nėsi. Tai, mat, yra lygu manyti, kad žinai ką nežinodamas. Agi niekas nežino, nei kas yra mirtis, nei to, ar ji nėra žmogui kartais dargi visų didžiausia laimė; ir visdėlto jos bijo, tarytum gerai žinodami, kad ji didžiausia nelaimė. Ir kas tai yra, jei ne neišmonė, jei ne ta pati bjaurioji, manyti, kad žinai ką nežinodamas? Šiame daikte, vyrai, aš, galbūt, skiriuos nuo daugelio kitų žmonių, ir jei man tikrai tektų sakyti, kuo aš išmintingesnis už kitą kurį, tai pasisakyčiau, jog būtent tuo, kad aš, neišmanydamas gerai Hado dalykų, taip ir tariuosi jų neišmanąs. Kad negerai ir negražu yra neteisinga elgtis ir neklausyti geresnio už save, — žmogaus ir Dievo, — tai aš betgi žinau. Todėl aš niekuomet nesibaidysiu ir nevengsiu tokių dalykų, apie kuriuos nežinau, ar jie nėra kartais geri prieš tuos, kuriuos žinai, kad jie tikrai pikti.

Ὥστε οὐδ' εἴ με νῦν ὑμεῖς ἀφίετε Ἀνύτῳ ἀπιστήσαντες, ὃς ἔφη ἢ τὴν ἀρχὴν οὐ δεῖν ἐμὲ δεῦρο εἰσελθεῖν ἤ, ἐπειδὴ εἰσῆλθον, οὐχ οἷόν τ' εἶναι τὸ μὴ ἀποκτεῖναί με, λέγων πρὸς ὑμᾶς, ὡς, εἰ διαφευξοίμην, ἤδη ἂν ὑμῶν οἱ ὑεῖς ἐπιτηδεύοντες, ἃ Σωκράτης διδάσκει, πάντες παντάπασι διαφθαρήσονται, — εἴ μοι πρὸς ταῦτα εἴποιτε· ὦ Σώκρατες, νῦν μὲν Ἀνύτῳ οὐ πεισόμεθα, ἀλλ' ἀφίεμέν σε, ἐπὶ τούτῳ μέντοι, ἐφ' ᾧτε μηκέτι ἐν ταύτῃ τῇ ζητήσει διατρίβειν μηδὲ φιλοσοφεῖν· ἐὰν δὲ ἁλῷς ἔτι τοῦτο πράττων, ἀποθανεῖ· εἰ οὖν με, ὅπερ εἶπον, ἐπὶ τούτοις ἀφίοιτε, εἴποιμ' ἂν ὑμῖν, ὅτι ἐγὼ ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἀσπάζομαι μὲν καὶ φιλῶ, πείσομαι δὲ μᾶλλον τῷ θεῷ ἢ ὑμῖν, καὶ ἕωσπερ ἂν ἐμπνέω καὶ οἷός τε ὦ, οὐ μὴ παύσωμαι φιλοσοφῶν καὶ ὑμῖν παρακελευόμενός τε καὶ ἐνδεικνύμενος, ὅτῳ ἂν ἀεὶ ἐντυγχάνω ὑμῶν, λέγων, οἷάπερ εἴωθα, ὅτι ὦ ἄριστε ἀνδρῶν, Ἀθηναῖος ὤν, πόλεως τῆς μεγίστης καὶ εὐδοκιμωτάτης εἰς σοφίαν καὶ ἰσχύν, χρημάτων μὲν οὐκ αἰσχύνει ἐπιμελούμενος, ὅπως σοι ἔσται ὡς πλεῖστα, καὶ δόξης καὶ τιμῆς, φρονήσεως δὲ καὶ ἀληθείας καὶ τῆς ψυχῆς, ὅπως ὡς βελτίστη ἔσται, οὐκ ἐπιμελεῖ οὐδὲ φροντίζεις; καὶ ἐάν τις ὑμῶν ἀμφισβητῇ καὶ φῇ ἐπιμελεῖσθαι, οὐκ εὐθὺς ἀφήσω αὐτὸν οὐδ' ἄπειμι, ἀλλ' ἐρήσομαι αὐτὸν καὶ ἐξετάσω καὶ ἐλέγξω, καὶ ἐάν μοι μὴ δοκῇ κεκτῆσθαι ἀρετήν, φάναι δέ, ὀνειδιῶ ὅτι τὰ πλείστου ἄξια

Tegu jūs dabar paleidžiate mane, nepatikėję Anitu, kurs sakė, kad arba visai nereikėję man čia ateiti, arba, kai jau čia atėjau, nebegalima esą palikti manęs mirtim nepasmerkto, nes, kaip jis jums teigia, man iš čia nenubaustam ištrūkus, jūsų sūnūs, sekdami Sokrato mokslu, visi ir visiškai patvirksią. Jeigu jūs man tan žodin tartute: Sokratai, mes nebeklausysime Anito, tačiau paleisime tave vien ta sąlyga, kad tu daugiau nebegaišintum laiko dėl to tyrinėjimo ir kad tau nebemagėtų išminties ieškojimas; ir jei vėl pakliūsi, taip bedarydamas, tai nebeišsisuksi nuo mirties. Jei, vadinasi, tokiomis sąlygomis, kaip sakiau, jūs mane paleistute, tai aš jums atšaučiau šitaip: Kad ir labai gerbiu jus ir lenkiuosi jūsų, Atėnų vyrai, tačiau Dievo daugiau, negu jūsų, paklausysiu; kol gyvas ir kol dar tebepagaliu, aš nesiliausiu ieškoję̨s išminties ir jums inkalbinėjęs, beaiškinęs, kur tik sutikdamas ką iš jūsų, šitais savo inprastais žodžiais: Mano tu geriausias, būdamas atėnietis, paties didžiojo ir labiausiai mokslu ir galybe pagarsėjusio miesto pilietis, tu nesigėsti rūpintis, kaip čia insigijus ko daugiausia pinigų, garbės ir šlovės, o išmone, tiesa ir sielos gerove, kad ji kiek galint gražiau tarptų, nesirūpini? ji tau nei motais? Ir jeigu jūsų tarpe rasis koks priešgina, kurs sakytų, kad rūpinąsis, tai aš neveikiai jį paleisiu ir nuo jo nueisiu, priešingai, aš jį kvosiu, klausinėsiu ir gaudysiu; ir jei pasirodys man stokojąs tauros, nors sakytųsi nestokojąs, tai

περὶ ἐλαχίστου ποιεῖται, τὰ δὲ φαυλότερα περὶ πλείονος. ταῦτα καὶ νεωτέρῳ καὶ πρεσβυτέρῳ, ὅτῳ ἂν ἐντυγχάνω, ποιήσω, καὶ ξένῳ καὶ ἀστῷ, μᾶλλον δὲ τοῖς ἀστοῖς, ὅσῳ μου ἐγγυτέρω ἐστὲ γένει. ταῦτα γὰρ κελεύει ὁ θεός, εὖ ἴστε, καὶ ἐγὼ οἴομαι οὐδέν πω ὑμῖν μεῖζον ἀγαθὸν γενέσθαι ἐν τῇ πόλει ἢ τὴν ἐμὴν τῷ θεῷ ὑπηρεσίαν. οὐδὲν γὰρ ἄλλο πράττων ἐγὼ περιέρχομαι ἢ πείθων ὑμῶν καὶ νεωτέρους καὶ πρεσβυτέρους μήτε σωμάτων ἐπιμελεῖσθαι μήτε χρημάτων πρότερον μηδὲ οὕτω σφόδρα ὡς τῆς ψυχῆς, ὅπως ὡς ἀρίστη ἔσται, λέγων· οὐκ ἐκ χρημάτων ἀρετὴ γίγνεται, ἀλλ' ἐξ ἀρετῆς χρήματα καὶ τὰ ἄλλα ἀγαθὰ τοῖς ἀνθρώποις ἅπαντα καὶ ἰδίᾳ καὶ δημοσίᾳ. εἰ μὲν οὖν ταῦτα λέγων διαφθείρω τοὺς νέους, ταῦτ' ἂν εἴη βλαβερά. εἰ δέ τίς μέ φησιν ἄλλα λέγειν ἢ ταῦτα, οὐδὲν λέγει. πρὸς ταῦτα, φαίην ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, ἢ πείθεσθε Ἀνύτῳ ἢ μή, καὶ ἢ ἀφίετε ἢ μὴ ἀφίετε, ὡς ἐμοῦ οὐκ ἂν ποιήσοντος ἄλλα, οὐδ' εἰ μέλλω πολλάκις τεθνάναι.

XVIII. Μὴ θορυβεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' ἐμμείνατέ μοι οἷς ἐδεήθην ὑμῶν, μὴ θορυβεῖν ἐφ' οἷς ἂν λέγω, ἀλλ' ἀκούειν· καὶ γάρ, ὡς ἐγὼ οἶμαι, ὀνήσεσθε ἀκούοντες. μέλλω γὰρ οὖν ἄττα ὑμῖν ἐρεῖν

aš jam prikišiu, kad didžiausios vertės dalykus visų mažiausia tebrangina, o menkniekius daugiau. Taip elgsiuosi su kiekvienu, kurį tik sutiksiu: su jaunesniu ir vyresniu, su svetimos šalies žmogumi ir su vietiniu, juo daugiau su vietiniais, kadangi esate man artimesni kilimo. Mat, Dievas liepia taip daryti, būkite tikri. Be to, man regis, niekuomet nėra tikęsi nei jums, nei jūsų šaliai didesnės laimės, kaip tas mano tarnavimas Dievui.

Agi nieko daugiau aš neveikiu, kaip tik vaikščioju ir kalbu jums, jauniems ir vyresniems, ragindamas pirma ir daug labiau rūpintis ne kūno reikalais ir ne turtais, bet savo siela, kad ko geriausia būtų; aš skelbiu, jog ne iš turtų dorybė randasi, bet iš dorybės turtai ir visos kitos gėrybės žmonėms, — asmeninės ir bendrosios. Jeigu jau tokiomis kalbomis aš gadinu jaunuomenę, tai jos galėtų būti žalingos; ir jei kas sako, aš skelbiąs kitą ką, o ne šitą, tas yra niekabylis. Dėl to, vyrai atėniečiai, aš galiu jums pasakyti: Paklausysite Anito ar ne, paleisite mane ar nepaleisite, aš betgi nesielgsiu kitaip, nors man tektų daug sykių mirti.

XVIII. Nekelkite triukšmo, atėniečiai, laikykitės ir toliau taip, kaip aš jūsų prašiau: netrukdyti mano kalbos ir klausyti. Aš manau, jums bus naudinga paklausyti. Mat, aš ketinu jums pasakyti dar ką nekąą, dėl ko gali pa-

καὶ ἄλλα, ἐφ' οἷς ἴσως βοήσεσθε· ἀλλὰ μηδαμῶς ποιεῖτε τοῦτο. εὖ γὰρ ἴστε, ἐὰν ἐμὲ ἀποκτείνητε τοιοῦτον ὄντα, οἷον ἐγὼ λέγω, οὐκ ἐμὲ μείζω βλάψετε ἢ ὑμᾶς αὐτούς· ἐμὲ μὲν γὰρ οὐδὲν ἂν βλάψειεν οὔτε Μέλητος οὔτε Ἄνυτος· οὐδὲ γὰρ ἂν δύναιτο· οὐ γὰρ οἴομαι θεμιτὸν εἶναι ἀμείνονι ἀνδρὶ ὑπὸ χείρονος βλάπτεσθαι. ἀποκτείνειε μεντἂν ἴσως ἢ ἐξελάσειεν ἢ ἀτιμώσειεν· ἀλλὰ ταῦτα οὗτος μὲν ἴσως οἴεται καὶ ἄλλος τίς που μεγάλα κακά, ἐγὼ δ' οὐκ οἴομαι, ἀλλὰ πολὺ μᾶλλον ποιεῖν, ἃ οὗτος νυνὶ ποιεῖ, ἄνδρα ἀδίκως ἐπιχειρεῖν ἀποκτιννύναι. νῦν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πολλοῦ δέω ἐγὼ ὑπὲρ ἐμαυτοῦ ἀπολογεῖσθαι, ὥς τις ἂν οἴοιτο, ἀλλὰ ὑπὲρ ὑμῶν, μή τι ἐξαμάρτητε περὶ τὴν τοῦ θεοῦ δόσιν ὑμῖν ἐμοῦ καταψηφισάμενοι. ἐὰν γὰρ ἐμὲ ἀποκτείνητε, οὐ ῥᾳδίως ἄλλον τοιοῦτον εὑρήσετε, ἀτεχνῶς, εἰ καὶ γελοιότερον εἰπεῖν, προσκείμενον τῇ πόλει ὑπὸ τοῦ θεοῦ, ὥσπερ ἵππῳ μεγάλῳ μὲν καὶ γενναίῳ, ὑπὸ μεγέθους δὲ νωθεστέρῳ καὶ δεομένῳ ἐγείρεσθαι ὑπὸ μύωπός τινος· οἷον δή μοι δοκεῖ ὁ θεὸς ἐμὲ τῇ πόλει προστεθηκέναι τοιοῦτόν τινα, ὃς ὑμᾶς ἐγείρων καὶ πείθων καὶ ὀνειδίζων, ἕνα ἕκαστον οὐδὲν παύομαι τὴν ἡμέραν ὅλην πανταχοῦ προσκαθίζων. τοιοῦτος οὖν ἄλλος οὐ ῥᾳδίως ὑμῖν γενήσεται, ὦ ἄνδρες, ἀλλ' ἐὰν ἐμοὶ πείθησθε, φείσεσθέ μου· ὑμεῖς δ' ἴσως τάχ' ἂν ἀχθόμενοι, ὥσπερ οἱ νυστάζοντες ἐγειρόμενοι, κρούσαντες ἂν με, πειθόμενοι Ἀνύτῳ, ῥᾳδίως ἂν ἀποκτείναιτε, εἶτα τὸν λοιπὸν βίον καθεύδοντες διατελοῖτε ἄν, εἰ

imti jus noras parėkoti. Bet jūs, meldžiamieji, to nedarykite: Būkite tikri: jeigu jūs nužudysite mane tokį, koks aš sakaus esąs, tai ne tiek man, kiek sau patiems pakenksite. Juk nieko nepakenktų man nei Melėtas, nei Anitas; to juodu negalėtų, nes, manding, nesutinka su tvarkos dėsniu, kad piktesnis žmogus kenktų geresniam. Galėti jis, žinoma, gali nužudyti mane, ištremti ar piliečio teises atimti. Jis ir kitas kas laiko tai rasit didele nelaime, o aš nelaikau; daug didesnė nelaimė daryti, ką šis dabar daro: neteisingai tykoti žmogui atimti gyvatą. Taip tad, vyrai atėniečiai, dabar aš ginu toli gražu ne save, kaip kitas gal mano, bet ginu jus, bijodamas, kad pasmerkę mane mirtim, nepražiopsotute kartais tos dovanos, kurią jums Dievas yra suteikęs. Iš tiesų: jeigu jūs mane mirtim pasmerksite, tai nelengvai rasite kitą tokį, regimai, — nors ir juokinga taip sakyti, — Dievo priskirtą miestui, kaip tam dideliam geros veislės žirgui, per savo dydį betgi inrambėjusiam ir dėl to reikalingam, kad koks gylys jį ragintų. Štai, rodos, ir mane Dievas yra skyręs tokį jūsų miestui, kad aš kasdien, nuo ryto ligi vakaro, visur pristodamas in kiekvieną, be paliovos ragínčiau, tikinčiau ir priekaištais neduočiau jums ramumo. Kitas toks jums, vyrai, veikiai neatsiras; jei tikite manim, tai jūs manęs neliesite. Bet jūs gal, kaip tie snaudaliai, žadinami iš miego, intūžę mušite mane ir, paklausę Anito, lengva širdimi nužudysite mane, o paskum, ramiai sau miegodami, baigsite likusį gy-

μή τινα ἄλλον ὁ θεὸς ὑμῖν ἐπιπέμψειε κηδόμενος ὑμῶν. ὅτι δ' ἐγὼ τυγχάνω ὢν τοιοῦτος, οἷος ὑπὸ τοῦ θεοῦ τῇ πόλει δεδόσθαι, ἐνθένδε ἂν κατανοήσαιτε· οὐ γὰρ ἀνθρωπίνῳ ἔοικε τὸ ἐμὲ τῶν μὲν ἐμαυτοῦ ἀπάντων ἠμεληκέναι καὶ ἀνέχεσθαι τῶν οἰκείων ἀμελουμένων τοσαῦτα ἤδη ἔτη, τὸ δὲ ὑμέτερον πράττειν ἀεί, ἰδίᾳ ἑκάστῳ προσιόντα ὥσπερ πατέρα ἢ ἀδελφὸν πρεσβύτερον, πείθοντα ἐπιμελεῖσθαι ἀρετῆς. καὶ εἰ μέν τι ἀπὸ τούτων ἀπέλαυον καὶ μισθὸν λαμβάνων ταῦτα παρεκελευόμην, εἶχον ἄν τινα λόγον· νῦν δὲ ὁρᾶτε δὴ καὶ αὐτοί, ὅτι οἱ κατήγοροι τἆλλα πάντα ἀναισχύντως οὕτω κατηγοροῦντες τοῦτό γε οὐχ οἷοί τε ἐγένοντο ἀπαναισχυντῆσαι παρασχόμενοι μάρτυρα, ὡς ἐγώ ποτέ τινα ἢ ἐπραξάμην μισθὸν ἢ ᾔτησα. ἱκανὸν γάρ, οἶμαι, ἐγὼ παρέχομαι τὸν μάρτυρα, ὡς ἀληθῆ λέγω, τὴν πενίαν.

XIX. Ἴσως ἂν οὖν δόξειεν ἄτοπον εἶναι, ὅτι δὴ ἐγὼ ἰδίᾳ μὲν ταῦτα ξυμβουλεύω περιιὼν καὶ πολυπραγμονῶν, δημοσίᾳ δὲ οὐ τολμῶ ἀναβαίνων εἰς τὸ πλῆθος τὸ ὑμέτερον ξυμβουλεύειν τῇ πόλει. τούτου δὲ αἴτιόν ἐστιν ὃ ὑμεῖς ἐμοῦ πολλάκις ἀκηκόατε πολλαχοῦ λέγοντος, ὅτι μοι θεῖόν τι καὶ δαιμόνιον γίγνεται, ὃ δὴ καὶ ἐν τῇ γραφῇ ἐπικωμῳδῶν Μέλητος ἐγράψατο. ἐμοὶ δὲ τοῦτ' ἐστὶν ἐκ παιδὸς ἀρξάμενον, φωνή τις γιγνομένη, ἥ, ὅταν γένηται, ἀεὶ ἀποτρέπει

venimą, jei Dievas, jūsų pasigailėjęs, neatsiųs kito ko mano vieton. Kad aš esu toks žmogus, kurį Dievas yra davęs miestui, galėtute suprasti ir iš to. Argi tai žmogiška atrodo, tieka jau metų pamiršus ir apleidus, kaip aš, visus savo asmens ir namų reikalus, visą laiką sielotis jūsų gerove, vaikščiojant in kiekvieną skyrium, man, kaip tėvui ir vyresniam broliui, jus prikalbinėti, kad pasirūpintute savo doru gyvenimu? Kad aš bent kiek naudos turėčiau už tą vargą, kad būčiau atlygintas už tą triusą, tai būčiau nors suprantamas. O dabar patys matote, jog mano skundėjai, visu kuo taip begėdiškai mane kaltinę, visdėlto nebeturėjo tos begėdiškos drąsos, pastatę liudytoją, yskinti, kad aš kada reikalavęs arba ėmęs kokį atlyginimą. Tam patvirtinti, kad aš sakau tiesą, duodu, man regis, patikimą liudytoją: savo neturtą.

XIX. Rasit ir keistai rodo, kad aš, vaikščiodamas in kiekvieną skyrium, peršuosi su tais savo patarimais visokiems mažmožiams ir betgi nesiryžtu viešai stoti su jumis minioje ir ten svoti savo nuomonę valstybei. Tokios mano elgsenos priežastis yra ta, apie kurią mane kalbant esate šen ir ten dažnai girdėję: tai toks Dievo ar dievenio dvasios ženklas, kurs manyje pasireiškia ir kurį Melėtas pasityčiodamas padėjo savo skundo pagrindan. Jis iš mažų dienų mane tebelydi; tai toks balsas, kurs, kai tik pasigirsta, vusuomet atkalbinėja mane nuo

με τούτου, ὃ ἂν μέλλω πράττειν, προτρέπει δὲ οὔποτε· τοῦτ' ἔστιν ὅ μοι ἐναντιοῦται τὰ πολιτικὰ πράττειν. καὶ παγκάλως γέ μοι δοκεῖ ἐναντιοῦσθαι· εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ πάλαι ἐπεχείρησα πράττειν τὰ πολιτικὰ πράγματα, πάλαι ἂν ἀπολώλη καὶ οὔτ' ἂν ὑμᾶς ὠφελήκη οὐδὲν οὔτ' ἂν ἐμαυτόν. καί μοι μὴ ἄχθεσθε λέγοντι τἀληθῆ· οὐ γὰρ ἔστιν ὅστις ἀνθρώπων σωθήσεται οὔτε ὑμῖν οὔτε ἄλλῳ πλήθει οὐδενὶ γνησίως ἐναντιούμενος καὶ διακωλύων πολλὰ ἄδικα καὶ παράνομα ἐν τῇ πόλει γίγνεσθαι, ἀλλ' ἀναγκαῖόν ἐστι τὸν τῷ ὄντι μαχούμενον ὑπὲρ τοῦ δικαίου, καὶ εἰ μέλλει ὀλίγον χρόνον σωθήσεσθαι, ἰδιωτεύειν, ἀλλὰ μὴ δημοσιεύειν.

XX. Μεγάλα δ' ἔγωγε ὑμῖν τεκμήρια παρέξομαι τούτων, οὐ λόγους, ἀλλ' ὃ ὑμεῖς τιμᾶτε, ἔργα. ἀκούσατε δή μου τὰ ἐμοὶ ξυμβεβηκότα, ἵνα εἰδῆτε, ὅτι οὐδ' ἂν ἑνὶ ὑπεικάθοιμι παρὰ τὸ δίκαιον δείσας θάνατον, μὴ ὑπείκων δὲ ἅμα κἂν ἀπολοίμην. ἐρῶ δὲ ὑμῖν φορτικὰ μὲν καὶ δικανικά, ἀληθῆ δέ. ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἄλλην μὲν ἀρχὴν οὐδεμίαν πώποτε ἦρξα ἐν τῇ πόλει, ἐβούλευσα δέ· καὶ ἔτυχεν ἡμῶν ἡ φυλὴ Ἀντιοχὶς πρυτανεύουσα, ὅτε ὑμεῖς τοὺς δέκα στρατηγοὺς τοὺς οὐκ ἀνελομένους τοὺς ἐκ τῆς ναυμαχίας ἐβούλεσθε ἀθρόους κρίνειν, παρανόμως, ὡς ἐν τῷ ὑστέρῳ χρόνῳ πᾶσιν ὑμῖν ἔδοξεν. τότ' ἐγὼ μόνος τῶν πρυτάνεων

to, ką ketinu daryti, o prikalbinėti niekad neprikalbinėja. Štai kas neleidžia man kištis valstybės reikaluosin! Man regis, labai gerai, kad neleidžia. Būkite tikri, vyrai atėniečiai, jei aš būčiau kada ėmęsis dirbti valstybės darbą, tai jau seniai būčiau dingęs ir iš manęs nebebūtų nei jums, nei man jokios naudos. Nepykite ant manęs, kad sakau tiesą; juk nėr tokio žmogaus, kurs galėtų gyvas išlikti, sąžiningai visur priešindamasis jums ar kitai kuriai miniai ir neleisdamas darytis valstybėje eibėms neteisingų ir neteisėtų dalykų. Priešingai, kas rimtai stoja kovon už teisybę, kas nori šiek tiek ilgiau pagyventi, tam lemta nuošaliai laikytis ir nesisprausti viešumon.

XX. Tam svarbių išrodymų aš duosiu jums; ne žodžius, bet tai, ką jūs labai vertinate, — darbus. Tad paklausykite, kas man yra tikęsi, kad žinotute, jog aš nei vienam nenusileidžiu, kur neteisinga, pabugęs mirties, ir jog nenusileisdamas galėjau dar pražūti. Ką pasakosiu, tai baisūs ir nelemti dalykai, tačiau tikra tiesa. Aš, vyrai atėniečiai, niekad neturėjau kitos kurios vietos valdžioje, o Tarybos nariu esu buvęs. Ir mūsų Antiochidos filai teko vadovaujamoji pareiga tuomet, kada jūs norėjote teisti dešimtį karvedžių už tai, kad, pasibaigus jūros mūšiui, nepalaidojo žuvusiųjų, — teisti visus iš karto, nors tai buvo priešinga instatymams; tai jums paskum visiems tapo aišku. Tada tik aš

ἠναντιώθην ὑμῖν μηδὲν ποιεῖν παρὰ τοὺς νόμους καὶ ἐναντία ἐψηφισάμην· καὶ ἑτοίμων ὄντων ἐνδεικνύναι με καὶ ἀπάγειν τῶν ῥητόρων καὶ ὑμῶν κελευόντων καὶ βοώντων, μετὰ τοῦ νόμου καὶ τοῦ δικαίου ᾤμην μᾶλλόν με δεῖν διακινδυνεύειν ἢ μεθ' ὑμῶν γενέσθαι μὴ δίκαια βουλευομένων, φοβηθέντα δεσμὸν ἢ θάνατον.

Καὶ ταῦτα μὲν ἦν ἔτι δημοκρατουμένης τῆς πόλεως. ἐπειδὴ δὲ ὀλιγαρχία ἐγένετο, οἱ τριάκοντα αὖ μεταπεμψάμενοί με πέμπτον αὐτὸν εἰς τὴν θόλον προσέταξαν ἀγαγεῖν ἐκ Σαλαμῖνος Λέοντα τὸν Σαλαμίνιον, ἵνα ἀποθάνοι· οἷα δὴ καὶ ἄλλοις ἐκεῖνοι πολλοῖς πολλὰ προσέταττον, βουλόμενοι ὡς πλείστους ἀναπλῆσαι αἰτιῶν· τότε μέντοι ἐγὼ οὐ λόγῳ, ἀλλ' ἔργῳ αὖ ἐνεδειξάμην, ὅτι ἐμοὶ θανάτου μὲν μέλει, εἰ μὴ ἀγροικότερον ἦν εἰπεῖν, οὐδ' ὁτιοῦν, τοῦ δὲ μηδὲν ἄδικον μηδ' ἀνόσιον ἐργάζεσθαι, τούτου δὲ τὸ πᾶν μέλει. ἐμὲ γὰρ ἐκείνη ἡ ἀρχὴ οὐκ ἐξέπληξεν οὕτως ἰσχυρὰ οὖσα, ὥστε ἄδικόν τι ἐργάσασθαι, ἀλλ' ἐπειδὴ ἐκ τῆς θόλου ἐξήλθομεν, οἱ μὲν τέτταρες ᾤχοντο εἰς Σαλαμῖνα καὶ ἤγαγον Λέοντα, ἐγὼ δὲ ᾠχόμην ἀπιὼν οἴκαδε. καὶ ἴσως ἂν διὰ ταῦτα ἀπέθανον, εἰ μὴ ἡ ἀρχὴ διὰ ταχέων κατελύθη· καὶ τούτων ὑμῖν ἔσονται πολλοὶ μάρτυρες.

vienas iš vadovaujančiųjų Tarybos žmonių pasipriešinau jums, kad nesielgtute prieš instatymus, ir priešingai balsavau. Ir nors kalbūs minios vadokliai, jūsų šauksmais pakurstomi, kreitėjo mane suimti ir induoti, tačiau bevelijau, kaip pareiga liepia, laikydamasis instatymo ir teisybės, atsidurti pavojuje, negu, pabijojęs kalėjimo ar mirties, sutikti su jūsų neteisingais ingeidžiais.

Tai buvo, kada mūsų šalį tebevaldė demokratija. O insigalėjus oligarchijai, Trijų Dešimtų vyriausybė, pasišaukusi mane penktą Tolan drauge su kitais keturiais, paliepė mums atgabenti Leontą iš Salamino, kad jį nužudytų. Agi daug tokių insakymų ir daugeliui ji duodavo, norėdama ko daugiausia žmonių inkliudyti savo nusikalstaman žygin. Tada aš ne žodžiu, bet darbu vėl parodžiau, jog mirties aš nebijau, — kad nebūtų statokai pasakyta, — jog ji man nei motais; niekad nedaryti kas neteisinga ir netaura, — štai kas man visų labiausiai rūpi! Ir anoji valdžia, būdama taip galinga, dargi baidymais nestengė priversti mane padaryti ką neteisingai. Kai išėjome iš Tolo, anie keturi vyko Salaminan ir atsivedė iš tenai Leontą, o aš grįžau sau namo. Ir už tai rasit būčiau prikišęs galvą, jei anoji valdžia tuojau nebūtų buvusi nuversta. Tai galės jums daugelis paliudyti.

XXI. Ἆρ' οὖν ἄν με οἴεσθε τοσάδε ἔτη διαγενέσθαι, εἰ ἔπραττον τὰ δημόσια καὶ πράττων ἀξίως ἀνδρὸς ἀγαθοῦ ἐβοήθουν τοῖς δικαίοις καί, ὥσπερ χρή, τοῦτο περὶ πλείστου ἐποιούμην; πολλοῦ γε δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι. οὐδὲ γὰρ ἂν ἄλλος ἀνθρώπων οὐδείς. ἀλλ' ἐγὼ διὰ παντὸς τοῦ βίου δημοσίᾳ τε, εἴ πού τι ἔπραξα, τοιοῦτος φανοῦμαι, καὶ ἰδίᾳ ὁ αὐτὸς οὗτος, οὐδενὶ πώποτε ξυγχωρήσας οὐδὲν παρὰ τὸ δίκαιον οὔτε ἄλλῳ οὔτε τούτων οὐδενί, οὓς οἱ διαβάλλοντες ἐμέ φασιν ἐμοὺς μαθητὰς εἶναι. ἐγὼ δὲ διδάσκαλος μὲν οὐδενὸς πώποτ' ἐγενόμην· εἰ δέ τίς μου λέγοντος καὶ τὰ ἐμαυτοῦ πράττοντος ἐπιθυμοῖ ἀκούειν, εἴτε νεώτερος εἴτε πρεσβύτερος, οὐδενὶ πώποτε ἐφθόνησα. οὐδὲ χρήματα μὲν λαμβάνων διαλέγομαι, μὴ λαμβάνων δὲ οὔ, ἀλλ' ὁμοίως καὶ πλουσίῳ καὶ πένητι παρέχω ἐμαυτὸν ἐρωτᾶν, καὶ ἐάν τις βούληται, ἀποκρινόμενος ἀκούειν ὧν ἂν λέγω. καὶ τούτων ἐγώ, εἴτε τις χρηστὸς γίγνεται εἴτε μή, οὐκ ἂν δικαίως τὴν αἰτίαν ὑπέχοιμι, ὧν μήτε ὑπεσχόμην μηδενὶ μηδὲν πώποτε μάθημα μήτε ἐδίδαξα· εἰ δέ τίς φησι παρ' ἐμοῦ πώποτέ τι μαθεῖν ἢ ἀκοῦσαι ἰδίᾳ, ὅ τι μὴ καὶ οἱ ἄλλοι πάντες, εὖ ἴστε, ὅτι οὐκ ἀληθῆ λέγει.

XXII. Ἀλλὰ διὰ τί δή ποτε μετ' ἐμοῦ χαίρουσί τινες πολὺν χρόνον διατρίβοντες; ἀκηκόατε, ὦ ἄνδρες

XXI. Ar manote, kad aš būčiau išgyvenęs tiek daug metų, jei būčiau dirbęs visuomenės darbą ir, jį dirbdamas, būčiau, kaip dera tauram vyrui, stojęs už teisę ir kaip reikiant sielojęsis ta pareiga? Toli gražu ne, vyrai atėniečiai! Agi ir kitas niekas nebūtų... Bet ir visą gyvenimą tokio bus mano, rodos, būta: to paties visuomenės darbe, kiek in jį man kur teko prisiliesti, to paties ir asmens reikale: niekam, niekuomet, nei kiek nenusileista prieš teisybę — nei kam iš tų, kuriuos mano paskalbų leidėjai vadina mano mokiniais, nei kam kitam.

Mokytoju, tiesą pasakius, niekieno ir niekad nėsu buvęs. Bet jei kas — jaunesnis ar vyresnis — norėdavo paklausyti mane kalbant ir pažiūrėti manęs savo darbą dirbant, — niekuomet ir niekad to negindavau. Ir aš ne toks, kurs paėmęs pinigus kalbasi, o nepaėmęs nesikalba. Priešingai, turtingam ir neturtingam lygiai leidžiu save klausti, ir kas nori, tas gali atsakinėti ir klausytis, ką aš sakau. Ir kad jei kuris randasi valyvas ar ne, tai aš, žinoma, negaliu prisiimti kaltės už tai: agi aš niekuomet ir niekada nėsu žadėjęs ko išmokyti ir niekam nėsu davęs pamokų. Jei kas sakosi kada ką išmokęs ar girdėjęs iš manęs skyrium, ko ir kiti nebūtų galėję girdėti, tai žinokite, kad jis netiesą kalba.

XXII. Bet kodėlgi kaikuriems taip maga jau seniai bendrauti su manim? Jūs esate, Atė-

᾿Αθηναῖοι, πᾶσαν ὑμῖν τὴν ἀλήθειαν ἐγὼ εἶπον· ὅτι ἀκούοντες χαίρουσιν ἐξεταζομένοις τοῖς οἰομένοις μὲν εἶναι σοφοῖς, οὖσι δ᾿ οὔ· ἔστι γὰρ οὐκ ἀηδές. ἐμοὶ δὲ τοῦτο, ὡς ἐγώ φημι, προστέτακται ὑπὸ τοῦ θεοῦ πράττειν καὶ ἐκ μαντείων καὶ ἐξ ἐνυπνίων καὶ παντὶ τρόπῳ, ᾧπέρ τίς ποτε καὶ ἄλλη θεία μοῖρα ἀνθρώπῳ καὶ ὁτιοῦν προσέταξε πράττειν.

Ταῦτα, ὦ ἄνδρες ᾿Αθηναῖοι, καὶ ἀληθῆ ἐστιν καὶ εὐέλεγκτα. εἰ γὰρ δὴ ἔγωγε τῶν νέων τοὺς μὲν διαφθείρω, τοὺς δὲ διέφθαρκα, χρῆν δήπου, εἴτε τινὲς αὐτῶν πρεσβύτεροι γενόμενοι ἔγνωσαν, ὅτι νέοις οὖσιν αὐτοῖς ἐγὼ κακὸν πώποτέ τι ξυνεβούλευσα, νυνὶ αὐτοὺς ἀναβαίνοντας ἐμοῦ κατηγορεῖν καὶ τιμωρεῖσθαι· εἰ δὲ μὴ αὐτοὶ ἤθελον, τῶν οἰκείων τινὰς τῶν ἐκείνων, πατέρας καὶ ἀδελφοὺς καὶ ἄλλους τοὺς προσήκοντας, εἴπερ ὑπ᾿ ἐμοῦ κακόν τι ἐπεπόνθεσαν αὐτῶν οἱ οἰκεῖοι, νῦν μεμνῆσθαι καὶ τιμωρεῖσθαι. πάντως δὲ πάρεισιν αὐτῶν πολλοὶ ἐνταυθοῖ, οὓς ἐγὼ ὁρῶ, πρῶτον μὲν Κρίτων οὑτοσί, ἐμὸς ἡλικιώτης καὶ δημότης, Κριτοβούλου τοῦδε πατήρ· ἔπειτα Λυσανίας ὁ Σφήττιος, Αἰσχίνου τοῦδε πατήρ· ἔτι ᾿Αντιφῶν ὁ Κηφισιεὺς οὑτοσί, ᾿Επιγένους πατήρ· ἄλλοι τοίνυν οὗτοι, ὧν οἱ ἀδελφοὶ ἐν ταύτῃ τῇ διατριβῇ γεγόνασιν, Νικόστρατος Θεοζοτίδου, ἀδελφὸς Θεοδότου — καὶ ὁ μὲν Θεόδοτος τετελεύτηκεν, ὥστε οὐκ ἂν ἐκεῖνός γε αὐτοῦ καταδεηθείη — καὶ Πάραλος ὅδε ὁ Δημοδόκου, οὗ ἦν Θεάγης ἀδελφός· ὅδε δὲ ᾿Αδείμαντος ὁ ᾿Αρίστωνος, οὗ ἀδελφὸς οὑτοσὶ Πλάτων, καὶ Αἰαντόδωρος, οὗ ᾿Απολλόδωρος ὅδε

nų vyrai, apie tai girdėję; aš pasakiau jums visą tiesą: dėlto kad jie mėgsta klausytis, kaip aš kvočiu tuos, kurie dedasi išmintingi, o iš tikrųjų toki nėra. Juk tai ne be to, kad nebūtų malonu. Taip daryti, sakau, yra man Dievo pavesta žiniuonės žosmėmis, sapnais ir visais galimais ženklais, kuriais paprastai ir kitokia Dievo valia pasireiškia, norėdama žmogui pavesti kokį nors darbą. Tai tiesa, Atėnų vyrai, ir lengva išrodyti. Ir tikrai: jei aš vienus jaunikaičius tebegadinu, o kitus jau pagadinęs, tai juk reiktų bent tiems iš jų, kurie jau subrendę, susipratus, kad aš jiems, kol dar nesuaugę jie tebebuvo, ką pikta esu kada padaręs, dabar štai patiems čia stojus mane inkaltinti ir man pabauda už tai atsidėkoti; arba, jiems to nepanorėjus, kas iš namiegų — tėvai, broliai ar kiti kurie giminės — turėtų, jeigu jų artimieji ko blogo buvo prityrę iš manęs, čiapat tuojau atsiminti ir pareikalauti iš manęs atsiteisti. Juk daug yra jų ir šičia atėjusių. Aš juos matau: pirmučiausia štai Kritonas, tųmetis su manim ir mano kaimynas, šito Kritobulo tėvas; paskum Lisanijas iš Sfėtto, šito Aischino tėvas; agi ir Antifontas, tas iš Kėfisios, Epigėno tėvas. O kiti yra tie, kurių broliai su manim bendraudavo: Nikostratas, Teodoto brolis, — o Teodotas jau miręs, taip kad jis negalėjo šiam prigrasyti, ir Paralas, Dėmodoko sūnus, kurio Teagas buvo brolis; ir Adeimantas, Aristono sūnus, ir šitai jo brolis Platonas; ir Ajantodoras, štai jo brolis Apollodoras. Galėčiau pasa-

ἀδελφός. καὶ ἄλλους πολλοὺς ἐγὼ ἔχω ὑμῖν εἰπεῖν, ὧν τινα ἐχρῆν μάλιστα μὲν ἐν τῷ ἑαυτοῦ λόγῳ παρασχέσθαι Μέλητον μάρτυρα· εἰ δὲ τότε ἐπελάθετο, νῦν παρασχέσθω — ἐγὼ παραχωρῶ — καὶ λεγέτω, εἴ τι ἔχει τοιοῦτον. ἀλλὰ τούτου πᾶν τοὐναντίον εὑρήσετε, ὦ ἄνδρες, πάντας ἐμοὶ βοηθεῖν ἑτοίμους τῷ διαφθείροντι, τῷ κακὰ ἐργαζομένῳ τοὺς οἰκείους αὐτῶν, ὥς φασι Μέλητος καὶ Ἄνυτος. αὐτοὶ μὲν γὰρ οἱ διεφθαρμένοι τάχ' ἂν λόγον ἔχοιεν βοηθοῦντες· οἱ δὲ ἀδιάφθαρτοι, πρεσβύτεροι ἤδη ἄνδρες, οἱ τούτων προσήκοντες, τίνα ἄλλον ἔχουσι λόγον βοηθοῦντες ἐμοὶ ἀλλ' ἢ τὸν ὀρθόν τε καὶ δίκαιον, ὅτι ξυνίσασι Μελήτῳ μὲν ψευδομένῳ, ἐμοὶ δὲ ἀληθεύοντι;

XXIII. Εἶεν δή, ὦ ἄνδρες· ἃ μὲν ἐγὼ ἔχοιμ' ἂν ἀπολογεῖσθαι, σχεδόν ἐστι ταῦτα καὶ ἄλλα ἴσως τοιαῦτα. τάχα δ' ἄν τις ὑμῶν ἀγανακτήσειεν ἀναμνησθεὶς ἑαυτοῦ, εἰ ὁ μὲν καὶ ἐλάττω τουτουῒ τοῦ ἀγῶνος ἀγῶνα ἀγωνιζόμενος ἐδεήθη τε καὶ ἱκέτευσε τοὺς δικαστὰς μετὰ πολλῶν δακρύων, παιδία τε αὑτοῦ ἀναβιβασάμενος, ἵνα ὅτι μάλιστα ἐλεηθείη, καὶ ἄλλους τῶν οἰκείων καὶ φίλων πολλούς, ἐγὼ δὲ οὐδὲν ἄρα τούτων ποιήσω, καὶ ταῦτα κινδυνεύων, ὡς ἂν δόξαιμι, τὸν ἔσχατον κίνδυνον. τάχ' οὖν τις ταῦτα ἐννοήσας αὐθαδέστερον ἂν πρός με σχοίη καὶ ὀργισθεὶς αὐτοῖς τούτοις θεῖτο ἂν μετ' ὀργῆς τὴν ψῆφον. εἰ δή τις ὑμῶν οὕτως ἔχει — οὐκ ἀξιῶ μὲν γὰρ ἔγωγε· εἰ δ' οὖν, ἐπιεικῆ ἄν μοι δοκῶ πρὸς τοῦτον λέγειν λέγων, ὅτι ἐμοί, ὦ ἄριστε, εἰσὶν μέν πού τινες καὶ οἰκεῖοι-

kyti jums ir daugelį kitų; iš jų bent vienas reikėjo visų pirma Melėtui savo kalboje pastatyti liudytoju. Jei tuomet pamiršo, dabar tepastato; aš sutinku. Tepasako, jei turi ką. Bet jūs rasite, vyrai, visai priešinga: jūs pamatysite, kad visi nori stoti man pagalbon, tam tvirkintojui, eibes blogo pridirbusiam jų giminėms, kaip sako Melėtas ir Anitas. Ištvirkusieji gal ir turėtų pagrindo mane ginti. Bet neištvirkusiems, jau suaugusiems vyrams anų giminėms, kuris kitas reikalas būtų mane užstoti, jei ne ta tikroji teisybė, kad jie insitikinę, jog Melėtas meluoja, o aš sakau tiesą?

XXIII. Tiek jau to, vyrai! Ką turėčiau pasakyti, save teisindamas, tai maždaug šituos, rasit, ir kitus tokius dalykus. Gal kas jūsų labai nemėgs, atsiminęs, kaip jis, kad ir menkesnę bylą turėdamas, kaip šioji, prašė ir melste meldė teisėjus, gausias ašaras liedamas, atsivedęs čionai savo mažus vaikus, kad jo žūtbūt pasigailėtų, — prisikvietęs dar kitų giminių ir daugybę prietelių; o aš visai neketinu taip daryti, nors, kaip galėčiau manyti, esu didžiausiame pavojuje. Tada nevienas, insidėjęs tatai sau galvon, rasit, dar atkakliau statysis prieš mane ir, intūžęs dėl tokio mano elgesio, iš apmaudo balsuos. Jei kas jūsų tarpe yra tikrai taip nusistatęs, — tiesiog aš to netvirtinu, jei betgi, — tai, rodos, mano teisė būtų jam pasakyti šitie žodžiai. Agi ir aš, mano tu mieliau-

καὶ γὰρ τοῦτο αὐτὸ τὸ τοῦ Ὁμήρου· οὐδ' ἐγὼ ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης πέφυκα, ἀλλ' ἐξ ἀνθρώπων, ὥστε καὶ οἰκεῖοί μοί εἰσι καὶ υἱεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, τρεῖς, εἷς μὲν μειράκιον ἤδη, δύο δὲ παιδία· ἀλλ' ὅμως οὐδένα αὐτῶν δεῦρο ἀναβιβασάμενος δεήσομαι ὑμῶν ἀποψηφίσασθαι. τί δὴ οὖν οὐδὲν τούτων ποιήσω; οὐκ αὐθαδιζόμενος, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδ' ὑμᾶς ἀτιμάζων, ἀλλ' εἰ μὲν θαρραλέως ἐγὼ ἔχω πρὸς θάνατον ἢ μή, ἄλλος λόγος, πρὸς δ' οὖν δόξαν καὶ ἐμοὶ καὶ ὑμῖν καὶ ὅλῃ τῇ πόλει οὔ μοι δοκεῖ καλὸν εἶναι ἐμὲ τούτων οὐδὲν ποιεῖν καὶ τηλικόνδε ὄντα καὶ τοῦτο τοὔνομα ἔχοντα, εἴτ' οὖν ἀληθὲς εἴτ' οὖν ψεῦδος· ἀλλ' οὖν δεδογμένον γέ ἐστι τὸ Σωκράτη διαφέρειν τινὶ τῶν πολλῶν ἀνθρώπων. εἰ οὖν ὑμῶν οἱ δοκοῦντες διαφέρειν εἴτε σοφίᾳ εἴτε ἀνδρείᾳ εἴτε ἄλλῃ ἡτινιοῦν ἀρετῇ τοιοῦτοι ἔσονται, αἰσχρὸν ἂν εἴη· οἵουσπερ ἐγὼ πολλάκις ἑώρακά τινας, ὅταν κρίνωνται, δοκοῦντας μέν τι εἶναι, θαυμάσια δὲ ἐργαζομένους, ὡς δεινόν τι οἰομένους πείσεσθαι, εἰ ἀποθανοῦνται, ὥσπερ ἀθανάτων ἐσομένων, ἂν ὑμεῖς αὐτοὺς μὴ ἀποκτείνητε· οἳ ἐμοὶ δοκοῦσιν αἰσχύνην τῇ πόλει περιάπτειν, ὥστ' ἄν τινα καὶ τῶν ξένων ὑπολαβεῖν, ὅτι οἱ διαφέροντες Ἀθηναίων εἰς ἀρετήν, οὓς αὐτοὶ ἑαυτῶν ἔν τε ταῖς ἀρχαῖς καὶ ταῖς ἄλλαις τιμαῖς προκρίνουσιν, οὗτοι γυναικῶν οὐδὲν διαφέρουσιν. ταῦτα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, οὔτε ἡμᾶς χρὴ ποιεῖν τοὺς δοκοῦντας καὶ ὁτιοῦν τι εἶναι οὔτ', ἂν ἡμεῖς ποιῶμεν, ὑμᾶς ἐπιτρέπειν, ἀλλὰ τοῦτο αὐτὸ ἐνδείκνυσθαι, ὅτι

sias, turiu šiokių tokių giminių. Mat, ir aš, anot Homero, „esu gimęs ne iš ąžuolo ir ne iš uolos", bet iš žmonių. Vadinasi, aš irgi turiu giminių, turiu, Atėnų vyrai, tris sūnus: vieną jaunikaitį jau, o du dar kūdikiu. Ir visdėlto nei vieno jų čionai aš nevesiu ir neprašysiu jūsų, kad mane išteisintute. Kodėl betgi aš taip nedarysiu? Ne dėl to, kad būčiau putlus, Atėnų vyrai, ar kad jus niekinčiau. Ar aš bijau mirties ar ne, tai kitas dalykas; svarbu, kad tai būtų, kaip man rodos, didelė nešlovė man, jums ir visai šaliai, jei aš taip nepadoriai elgčiaus, ir tai dar būdamas tokio amžiaus ir turėdamas taip plačiai pagarsėjusį vardą; teisingai ar neteisingai jis ingytas,—vistiek: yra insigalėjusi tokia nuomonė, kad Sokratas kaikuo skiriasi nuo kitų žmonių. Jei tie iš jūsų, kurie laikomi pasižymėjusiais išmintimi, drąsa ir kita kokia dorybe, taip elgtųsi, tai juk gėda būtų. Aš esu betgi ne sykį matęs ir ne vieną tokį, kuris žmonių akyse nemaža svėrė, o teisiamas kažinką darė, lyg ir manydamas, kad jam, praradus gyvatą, teks pritirti kokių baisumų; tarytum liktų nemirtingas, jeigu jūs nepasmerktute jo mirtim! Toki žmonės, man regis, daro nešlovę mūsų kraštui; paskum vienas kitas prašalaitis galėtų pamanyti, kad Atėniečių tarpe dorybėmis pasižymėjusieji vyrai, kuriuos jie patys stato savo priešakin, skirstydami vyriausybės ir kitas garbingas vietas, — kad tie vyrai niekuo nesiskiria nuo moterų. Todėl, Atėnų vyrai, nei mums, turintiems, kaip manoma, kiek svorio visuomenėje, tinka taip daryti, nei jums dera leisti, jei mes taip darytume; priešingai, jums rei-

πολὺ μᾶλλον καταψηφιεῖσθε τοῦ τὰ ἐλεεινὰ ταῦτα δράματα εἰσάγοντος. καὶ καταγέλαστον τὴν πόλιν ποιοῦντος ἢ τοῦ ἡσυχίαν ἄγοντος.

XXIV. Χωρὶς δὲ τῆς δόξης, ὦ ἄνδρες, οὐδὲ δίκαιόν μοι δοκεῖ εἶναι δεῖσθαι τοῦ δικαστοῦ οὐδὲ δεόμενον ἀποφεύγειν, ἀλλὰ διδάσκειν καὶ πείθειν. οὐ γὰρ ἐπὶ τούτῳ κάθηται ὁ δικαστής, ἐπὶ τῷ καταχαρίζεσθαι τὰ δίκαια, ἀλλ' ἐπὶ τῷ κρίνειν ταῦτα· καὶ ὀμώμοκεν οὐ χαριεῖσθαι, οἷς ἂν δοκῇ αὐτῷ, ἀλλὰ δικάσειν κατὰ τοὺς νόμους. οὔκουν χρὴ οὔτε ἡμᾶς ἐθίζειν ὑμᾶς ἐπιορκεῖν οὔθ' ὑμᾶς ἐθίζεσθαι· οὐδέτεροι γὰρ ἂν ἡμῶν εὐσεβοῖεν. μὴ οὖν ἀξιοῦτέ με, ὦ ἄνδρες Ἀθηναῖοι, τοιαῦτα δεῖν πρὸς ὑμᾶς πράττειν, ἃ μήτε ἡγοῦμαι καλὰ εἶναι μήτε δίκαια μήτε ὅσιά, ἄλλως τε μέντοι νὴ Δία πάντως καὶ ἀσεβείας φεύγοντα ὑπὸ Μελήτου τουτουί. σαφῶς γὰρ ἄν, εἰ πείθοιμι ὑμᾶς καὶ τῷ δεῖσθαι βιαζοίμην ὀμωμοκότας, θεοὺς ἂν διδάσκοιμι μὴ ἡγεῖσθαι ὑμᾶς εἶναι καὶ ἀτεχνῶς ἀπολογούμενος κατηγοροίην ἂν ἐμαυτοῦ, ὡς θεοὺς οὐ νομίζω. ἀλλὰ πολλοῦ δεῖ οὕτως ἔχειν. νομίζω τε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς οὐδεὶς τῶν ἐμῶν κατηγόρων, καὶ ὑμῖν ἐπιτρέπω καὶ τῷ θεῷ κρῖναι περὶ ἐμοῦ, ὅπῃ μέλλει ἐμοί τε ἄριστα εἶναι καὶ ὑμῖν.

35 — D B

kia kaip tik rodyti, jog kur kas greičiau nukaltinsite tą, kurs tokiais verksmingais žaismais jus graudina ir daro mūsų šalį juokingą, negu tą, kurs rimtai laikosi.

XXIV. Jau nekalbant apie šlovę, ir neteisinga būtų, man rodos, prašytis teisėjo ir prašymais išvengti bausmės, užuot jį privadžiojimais intikinus. Agi ne tam sėdi teisėjas, kad iš teisės darytų malonę, bet kad jos laikydamasis teistų; ir jis prisiekęs yra ne kam norėdamas savo malone intaikinti, bet instatymais eidamas teisti. Tad nevalia nei mums pratinti jus priesaiką laužyti, nei jums patiems pratintis tai daryt, nes tuomet abeji nusidėtume Dievams. Taip esant nereikalaukite, vyrai, iš manęs, kad aš daryčiau prieš jus tai, kas yra, mano nuomone, negražu, neteisinga ir kas nesutinka su Dievų valia, labiausiai, dievaži, kada esu štai Melėto inskųstas kaip tik dėl to, kad esąs bedievis. Juk aišku: jei aš, nežiūrėdamas jūsų priesaikos, inkyriais prašymais jus lenkčiau savo pusėn, tai mokyčiau jus manyti, jog nėra Dievų, ir besiteisindamas, be abejo, pats kaltinčiau save, kad netikiu Dievų. Bet toli gražu yra netaip! Aš juos tikiu, Atėnų vyrai, labiau, negu tūlas mano kaltintojas, ir palieku jums ir Dievui išteisti mane taip, kaip man ir jums geriau bus.

XXV. Τὸ μὲν μὴ ἀγανακτεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τούτῳ τῷ γεγονότι, ὅτι μου κατεψηφίσασθε, ἄλλα τέ μοι πολλὰ ξυμβάλλεται, καὶ οὐκ ἀνέλπιστόν μοι γέγονεν τὸ γεγονὸς τοῦτο, ἀλλὰ πολὺ μᾶλλον θαυμάζω ἑκατέρων τῶν ψήφων τὸν γεγονότα ἀριθμόν. οὐ γὰρ ᾤόμην ἔγωγε οὕτω παρ' ὀλίγον ἔσεσθαι, ἀλλὰ παρὰ πολύ· νῦν δέ, ὡς ἔοικεν, εἰ τριάκοντα μόναι μετέπεσον τῶν ψήφων, ἀπεπεφεύγη ἄν. Μέλητον μὲν οὖν, ὡς ἐμοὶ δοκῶ, καὶ νῦν ἀποπέφευγα, καὶ οὐ μόνον ἀποπέφευγα, ἀλλὰ παντὶ δῆλον τοῦτό γε, ὅτι, εἰ μὴ ἀνέβη Ἄνυτος καὶ Λύκων κατηγορήσοντες ἐμοῦ, κἂν ὦφλε χιλίας δραχμάς, οὐ μεταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων.

XXVI. Τιμᾶται δ' οὖν μοι ὁ ἀνὴρ θανάτου. εἶεν. ἐγὼ δὲ δὴ τίνος ὑμῖν ἀντιτιμήσομαι, ὦ ἄνδρες Ἀθηναῖοι; ἢ δῆλον ὅτι τῆς ἀξίας; τί οὖν; τί ἄξιός εἰμι παθεῖν ἢ ἀποτεῖσαι, ὅ τι μαθὼν ἐν τῷ βίῳ οὐχ ἡσυχίαν ἦγον, ἀλλ' ἀμελήσας, ὧνπερ οἱ πολλοί, χρηματισμοῦ τε καὶ οἰκονομίας καὶ στρατηγιῶν καὶ δημηγοριῶν καὶ τῶν ἄλλων ἀρχῶν καὶ ξυνωμοσιῶν καὶ στάσεων τῶν ἐν τῇ πόλει γιγνομένων — ἡγησάμενος ἐμαυτὸν τῷ ὄντι ἐπιεικέστερον εἶναι ἢ ὥστε εἰς ταῦτ' ἰόντα σῴζεσθαι, ἐνταῦθα μὲν οὐκ ᾖα, οἷ ἐλθὼν μήτε ὑμῖν μήτε ἐμαυτῷ ἔμελλον μηδὲν ὄφελος εἶναι, ἐπὶ

XXV. Kad neima manęs apmaudas dėl to invykio, būtent, kad jūs nuteisėte mane, tai daug kas prisidėjo, ir tai, kas atsitiko, nėra man netikėta. Priešingai, aš daug daugiau stebiuosi balsų skaičium, susidariusiu katroje pusėje. Mat, aš nesitikėjau tokio mažo skirtumo; laukiau daug didesnio. O dabar, kaip matyti, jei trys dešimtys balsų būtų buvę kitaip mesti, aš būčiau išteisintas. Prieš Melėtą, man rodos, aš ir dabar esu išteisintas; bet kiekvienam aišku, kad, jei Anitas su Likonu nebūtų stoję manęs kaltinti, tai jis būtų priteistas sumokėti vieną tūkstantį drachmių, nes jis nebūtų surinkęs nei penktos dalies balsų.

XXVI Šiaip ar taip, tas vyras siūlo mane mirtim bausti. Tegu! Kas gi man, Atėnų vyrai, pasiūlius vieton tos bausmės? Žinoma, kad tai, ko esu aš nusipelnęs. Tad kas gi? Kas atkentėti ar kuo atsilyginti man dera, kad nežinia kuriam galui visą gyvenimą nenuorama buvau, pamiršęs, kas daugumui rūpi: turtų krovimą ir savo namų ūkį, karvedžio garbę ir liaudies kalbovo garsą, šiaipjau vadovaujamas vyriausybės vietas, slaptuosius sąmokslus ir sutariamus pervertos žygius, kurių nestinga mūsų kraštui, kadangi tariausi, tiesą pasakius, perpadorus tam, kad galėčiau, saugodamas savo gyvatą, kištis tokiuosin dalykuosin? Kad nėjau ta linkme, kuria pasukęs, nebūčiau galėjęs nei jums, nei sau būti kiek naudingas, o ėjau tenai, kur aš, kaip paprastas

δὲ τὸ ἰδίᾳ ἕκαστον ἰὼν εὐεργετεῖν τὴν μεγίστην εὐεργεσίαν, ὡς ἐγώ φημι, ἐνταῦθα ᾖα, ἐπιχειρῶν ἕκαστον ὑμῶν πείθειν μὴ πρότερον μήτε τῶν ἑαυτοῦ μηδενὸς ἐπιμελεῖσθαι, πρὶν ἑαυτοῦ ἐπιμεληθείη, ὅπως ὡς βέλτιστος καὶ φρονιμώτατος ἔσοιτο, μήτε τῶν τῆς πόλεως, πρὶν αὐτῆς τῆς πόλεως, τῶν τε ἄλλων οὕτω κατὰ τὸν αὐτὸν τρόπον ἐπιμελεῖσθαι — τί οὖν εἰμι ἄξιος παθεῖν τοιοῦτος ὤν; ἀγαθόν τι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ δεῖ γε κατὰ τὴν ἀξίαν τῇ ἀληθείᾳ τιμᾶσθαι· καὶ ταῦτά γε ἀγαθὸν τοιοῦτον, ὅ τι ἂν πρέποι ἐμοί. τί οὖν πρέπει ἀνδρὶ πένητι εὐεργέτῃ, δεομένῳ ἄγειν σχολὴν ἐπὶ τῇ ὑμετέρᾳ παρακελεύσει; οὐκ ἔσθ᾽ ὅ τι μᾶλλον, ὦ ἄνδρες Ἀθηναῖοι, πρέπει οὕτως, ὡς τὸν τοιοῦτον ἄνδρα ἐν πρυτανείῳ σιτεῖσθαι, πολύ γε μᾶλλον ἢ εἴ τις ὑμῶν ἵππῳ ἢ ξυνωρίδι ἢ ζεύγει νενίκηκεν Ὀλυμπίασιν. ὁ μὲν γὰρ ὑμᾶς ποιεῖ εὐδαίμονας δοκεῖν εἶναι, ἐγὼ δὲ εἶναι· καὶ ὁ μὲν τροφῆς οὐδὲν δεῖται, ἐγὼ δὲ δέομαι. εἰ οὖν δεῖ με κατὰ τὸ δίκαιον τῆς ἀξίας τιμᾶσθαι, τούτου τιμῶμαι, ἐν πρυτανείῳ σιτήσεως.

XXVII. Ἴσως οὖν ὑμῖν καὶ ταυτὶ λέγων παραπλησίως δοκῶ λέγειν ὥσπερ περὶ τοῦ οἴκτου καὶ τῆς ἀντιβολήσεως, ἀπαυθαδιζόμενος· τὸ δὲ οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τοιοῦτον, ἀλλὰ τοιόνδε μᾶλλον.

žmogus, priėjęs kiekvieną skyrium, galėčiau padaryti jam, mano išmanymu, ko daugiausia gera? Tokį kelią pasirinkęs, stengiausi intikinti kiekvieną jūsų nesirūpinti jokiu savo dalyku tol, kol nebus aprūpintas jo paties asmuo taip, kad taptų ko geriausias ir ko protingiausias, nesirūpinti nei šalies reikalais pirmiau, kaip pačia šalimi; tokios pat tvarkos laikytis ir kitais dalykais rūpinantis. Tad kokį atpildą, toks būdamas, esu aš vertas gauti? Gerą kokį, Atėnų vyrai, jeigu man tenka jau teisingai, nuopelno saiku, jis pasisiūlyti; ir tas koks geras turi būti toks, kurs mano būsenos žmogui pritiktų. Bet kas gi tiktų neturtėliui geradariui, reikalingam laisvo laiko, kad galėtų atsidėjęs jus žadinti? Niekas, atėniečiai, taip labai nedera tokiam vyrui, kaip būti mitinamam Pritaniejuje, bent daug labiau, nei tūlam jūsų, kurs, žirgu jodamas arba dvejetą ar ketvertą vežiman pasikinkęs, esti Olimpijoje laimėjęs žaismo lenktynes. Jis, mat, padaro, kad jums tik rodosi, jog esate laimingi, o aš padarau taip, kad tikrai esate laimingi; be to, jis visai nereikalingas maisto, o aš — reikalingas. Vadinasi, jei tenka man teisingai atpildas pasiūlyti, tai aš jį pasisiūlau: mitybas Pritaniejuje.

XXVII. Gal ir dabar, kaip ir tuomet, kada kalbėjau aš apie verkšlenimus griaudžius ir prašymus pasigailėti, rodaus jums kalbąs iš didžio. Nėra taip, Atėnų vyrai, o bus veikiausia šitaip.

πέπεισμαι ἐγὼ ἑκὼν εἶναι μηδένα ἀδικεῖν ἀνθρώπων, ἀλλὰ ὑμᾶς τοῦτο οὐ πείθω· ὀλίγον γὰρ χρόνον ἀλλήλοις διειλέγμεθα· ἐπεί, ὡς ἐγᾦμαι, εἰ ἦν ὑμῖν νόμος, ὥσπερ καὶ ἄλλοις ἀνθρώποις, περὶ θανάτου μὴ μίαν ἡμέραν μόνον κρίνειν, ἀλλὰ πολλὰς, ἐπείσθητε ἄν· νῦν δ' οὐ ῥᾳδιον ἐν χρόνῳ ὀλίγῳ μεγάλας διαβολὰς ἀπολύεσθαι. πεπεισμένος δὴ ἐγὼ μηδένα ἀδικεῖν πολλοῦ δέω ἐμαυτόν γε ἀδικήσειν καὶ κατ' ἐμαυτοῦ ἐρεῖν αὐτός, ὡς ἄξιός εἰμί τὸυ κακοῦ, καὶ τιμήσεσθαι τοιούτου τινὸς ἐμαυτῷ. τί δείσας; ἦ μὴ πάθω τοῦτο, οὗ Μέλητός μοι τιμᾶται, ὅ φημι οὐκ εἰδέναι οὔτ' εἰ ἀγαθὸν οὔτ' εἰ κακόν ἐστιν; ἀντὶ τούτου δὴ ἕλωμαι ὧν εὖ οἶδά τι κακῶν ὄντων, τούτου τιμησάμενος; πότερον δεσμοῦ; καὶ τί με δεῖ ζῆν ἐν δεσμωτηρίῳ, δουλεύοντα τῇ ἀεὶ καθισταμένῃ ἀρχῇ, τοῖς ἕνδεκα; ἀλλὰ χρημάτων καὶ δεδέσθαι, ἕως ἂν ἐκτείσω; ἀλλὰ ταὐτόν μοί ἐστιν, ὅπερ νῦν δὴ ἔλεγον· οὐ γὰρ ἔστι μοι χρήματα, ὁπόθεν ἐκτείσω. ἀλλὰ δὴ φυγῆς τιμήσωμαι; ἴσως γὰρ ἄν μοι τούτου τιμήσαιτε. πολλὴ μεντἄν με φιλοψυχία ἔχοι, εἰ οὕτως ἀλόγιστός εἰμι, ὥστε μὴ δύνασθαι λογίζεσθαι, ὅτι ὑμεῖς μὲν ὄντες πολῖταί μου οὐχ οἷοί τε ἐγένεσθε ἐνεγκεῖν τὰς ἐμὰς διατριβὰς καὶ τοὺς λόγους,

Įsitikinęs esu, kad tyčiomis aš niekam pikta nedarau. Jūsų betgi neįtikinsiu, kad šitaip yr: deja, per maža laiko esame kalbėję vieni su kitais. Bet aš manau, jei būtų jums toksai įstatymas, koks esti žmonėse kitur, kad bylos tos, kur grasoma mirtim, ne viena tik diena yra išsprendžiamos, bet nagrinėjamos tenai kelias dienas, tai būčiau jus, be abejo, įtikinęs. Dabar nelengva juk trumpu laiku apsivalyti nuo taip didžių piktų paskalbų. Būdamas įsitikinęs niekam pikta nedaręs, aš, žinoma, ir su savim neteisingai toli gražu nesielgsiu, prieš save patį nekalbėsiu, kad aš esąs nusipelnęs ko pikta, ir bausmės ta prasme sau nesiūlysiu. Pagaliau, ko man bijoti? Gal to, kad neišvengsiu tos bausmės, kurios Melėtas reikalauja man, apie kurią esu jau sakęs nežinąs, ar laimė ji ar nelaimė? Jos vieton rasit pasirinkus man kas pabaudai iš tų dalykų, kuriuos žinau, kad jie tikrai pikti? Rasit kalėjimas? Ir koks tada man be gyvenimas būtų kalėjime, kaip vergui, esant priežiūroje iš eilės nuolat pakeičiamų ten vyresniųjų, tų Vienuolikos! Tai pinigais gal nusibausti ir tūnoti kalėjime, kol visa atsilyginsiu? Bet tai būtų man ta pat, ką tik dabar esu kalbėjęs: mat, lėšų neturiu, tad atsiteisti nėr iš ko. Rasit ištrėmimas teks man pasirinkti? Su tuo mano pasiūlymu, galbūt, ir jūs sutiksite. Bet man gyvenimas tikrai perdaug magėtų ir man tiek nuovokos jau trūktų, kad sumesti negalėčiau šitokio dalyko: jeigu jūs, būdami to paties krašto piliečiai, kaip ir aš, nestengėte pakęsti mano elgesio ir žodžių,

ἀλλ' ὑμῖν βαρύτεραι γεγόνασιν καὶ ἐπιφθονώτεραι, ὥστε ζητεῖτε αὐτῶν νυνὶ ἀπαλλαγῆναι — ἄλλοι δὲ ἄρα αὐτὰς οἴσουσι ῥᾳδίως; πολλοῦ γε δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι. καλὸς οὖν ἄν μοι ὁ βίος εἴη ἐξελθόντι τηλικῷδε ἀνθρώπῳ ἄλλην ἐξ ἄλλης πόλεως ἀμειβομένῳ καὶ ἐξελαυνομένῳ ζῆν. εὖ γὰρ οἶδ' ὅτι, ὅποι ἂν ἔλθω, λέγοντος ἐμοῦ ἀκροάσονται οἱ νέοι ὥσπερ ἐνθάδε· κἂν μὲν τούτους ἀπελαύνω, οὗτοι ἐμὲ αὐτοὶ ἐξελῶσι πείθοντες τοὺς πρεσβυτέρους· ἐὰν δὲ μὴ ἀπελαύνω, οἱ τούτων πατέρες τε καὶ οἰκεῖοι δι' αὐτοὺς τούτους.

XXVIII. Ἴσως οὖν ἄν τις εἴποι· σιγῶν δὲ καὶ ἡσυχίαν ἄγων, ὦ Σώκρατες, οὐχ οἷός τ' ἔσει ἡμῖν ἐξελθὼν ζῆν; τουτὶ δή ἐστι πάντων χαλεπώτατον πεῖσαί τινας ὑμῶν. ἐάν τε γὰρ λέγω, ὅτι τῷ θεῷ ἀπειθεῖν τοῦτ' ἐστὶν καὶ διὰ τοῦτ' ἀδύνατον ἡσυχίαν ἄγειν, οὐ πείσεσθέ μοι ὡς εἰρωνευομένῳ· ἐάν τ' αὖ λέγω, ὅτι καὶ τυγχάνει μέγιστον ἀγαθὸν ὂν ἀνθρώπῳ τοῦτο, ἑκάστης ἡμέρας περὶ ἀρετῆς τοὺς λόγους ποιεῖσθαι καὶ τῶν ἄλλων, περὶ ὧν ὑμεῖς ἐμοῦ ἀκούετε διαλεγομένου καὶ ἐμαυτὸν καὶ ἄλλους ἐξετάζοντος, ὁ δὲ ἀνεξέταστος βίος οὐ βιωτὸς ἀνθρώπῳ, ταῦτα δ' ἔτι ἧττον πείσεσθέ μοι λέγοντι. τὰ δὲ ἔχει μὲν οὕτως, ὡς ἐγώ φημι, ὦ ἄνδρες, πείθειν δὲ οὐ ῥᾴδιον. καὶ ἐγὼ ἅμα οὐκ εἴθισμαι ἐμαυτὸν ἀξιοῦν κακοῦ οὐδενός.

kurie jums atsibodo ir tiek jus inerzino, kad norite nuo jų atsikratyti, — tai ar pakęs lengvai juos svetimieji žmonės? Ką čia ir kalbėti, atėniečiai!

Ir gražus būtų gyvenimas tas mano: palikus savo šalį, tokiam senam žmogui keliauti iš miesto miestan ir iš visur būti vejamam! Juk aš gerai žinau, kad, kur tik aš nuvyksiu jaunuomenė klausysis mano kalbos, kaip ir čia. Ir jei pavarysiu ją aš nuo savęs, tai ji pati per vyresniuosius rūpinsis mane išginti; jei nepavarysiu aš jaunuomenės, tai jos tėvai ar giminės su manim dėl jos tai padarys.

XXVIII. Tai rasit pasakys man kas: „Sokratai, argi tu nesugebėtum, kur nuo mūsų atsitraukęs, ramiai, tylėdamas, gyventi sau?" Štai čia sunkiausia man išaiškinti kaikuriems iš jūsų tarpo. Mat, jei aš sakysiu, jog tai lygu Dievo neklausyti ir jog dėl to negalima ramiai gyventi man, tai jūs manim nepatikėsite, intardami, kad aš kalbu vienaip, betgi manau kitaip. Jeigu aš vėl sakysiu, kad yra didžiausia laimė žmogui taip kasdien šnekėti apie dorybę ir apie kitus dalykus, apie kuriuos girdite mane kalbant, dėl jų save ir kitus kvočiant, ir kad gyvenimas be tokio tyrinėjimo ir nevertas gyventi žmogui, — tai tokia mano kalba jūs dar mažiau tepatikėsite. Ir betgi, vyrai, taip yra, kaip aš sakau, nors jums tatai išrodyti nelengva. Be to, aš ir nepratęs laikyti save ko pikta nusi-

εἰ μὲν γὰρ ἦν μοι χρήματα, ἐτιμησάμην ἂν χρημάτων, ὅσα ἔμελλον ἐκτείσειν· οὐδὲν γὰρ ἂν ἐβλάβην· νῦν δὲ οὐ γὰρ ἔστιν, εἰ μὴ ἄρα, ὅσον ἂν ἐγὼ δυναίμην ἐκτεῖσαι, τοσούτου βούλεσθέ μοι τιμῆσαι. ἴσως δ' ἂν δυναίμην ἐκτεῖσαι ὑμῖν μνᾶν ἀργυρίου· τοσούτου οὖν τιμῶμαι. Πλάτων δὲ ὅδε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ Κρίτων καὶ Κριτόβουλος καὶ Ἀπολλόδωρος κελεύουσί με τριάκοντα μνῶν τιμήσασθαι, αὐτοὶ δ' ἐγγυᾶσθαι· τιμῶμαι οὖν τοσούτου, ἐγγυηταὶ δὲ ὑμῖν ἔσονται τοῦ ἀργυρίου οὗτοι ἀξιόχρεῳ.

XXIX. Οὐ πολλοῦ γ' ἕνεκα χρόνου, ὦ ἄνδρες Ἀθηναῖοι, ὄνομα ἕξετε καὶ αἰτίαν ὑπὸ τῶν βουλομένων τὴν πόλιν λοιδορεῖν, ὡς Σωκράτη ἀπεκτόνατε, ἄνδρα σοφόν — φήσουσι γὰρ δή με σοφὸν εἶναι, εἰ καὶ μή εἰμι, οἱ βουλόμενοι ὑμῖν ὀνειδίζειν. εἰ οὖν περιεμείνατε ὀλίγον χρόνον, ἀπὸ τοῦ αὐτομάτου ἂν ὑμῖν τοῦτο ἐγένετο· ὁρᾶτε γὰρ δὴ τὴν ἡλικίαν, ὅτι πόρρω ἤδη ἐστὶ τοῦ βίου, θανάτου δὲ ἐγγύς. λέγω δὲ τοῦτο οὐ πρὸς πάντας ὑμᾶς, ἀλλὰ πρὸς τοὺς ἐμοῦ καταψηφισαμένους θάνατον.

Λέγω δὲ καὶ τόδε πρὸς τοὺς αὐτοὺς τούτους. ἴσως με οἴεσθε, ὦ ἄνδρες, ἀπορίᾳ λόγων ἑαλωκέναι τοιούτων, οἷς ἂν ὑμᾶς ἔπεισα, εἰ ᾤμην δεῖν ἅπαντα ποιεῖν καὶ λέγειν, ὥστε ἀποφυγεῖν τὴν δίκην· πολλοῦ γε δεῖ. ἀλλ' ἀπορίᾳ μὲν ἑάλωκα, οὐ μέντοι λόγων, ἀλλὰ τόλμης καὶ ἀναισχυντίας καὶ τοῦ ἐθέλειν λέγειν πρὸς ὑμᾶς τοιαῦτα, οἷ' ἂν ὑμῖν

pelniusiu. Kad turėčiau pinigų, tikčiau ir pinigais aš baudžiamas, kiek tesėčiau, mokėti; tai nepakenktų man. Bet aš jų... neturiu. Negut norėtute priteisti man jūs tiek, kiek aš galėčiau sumokėti. Galėčiau sumokėti jums gal vieną miną. Tad tiek ir pasisiūlau. Bet štai Platonas, atėniečiai, ir Kritonas, Kritobulas ir Apollodoras sako man pasiūlyti jums tris dešimtis minų, ir jie laidoją tą sumą. Tai tiek aš siūlau, o šie vyrai bus jums tų pinigų laidas.

XXIX. Dėl to laiko menkniekio (kurs būtų likęs man gyventi) turėsite, Atėniečiai, nešlovingą vardą ir būsite kaltinami tų, kurie panorės peikti mūsų miestą, kad jūs mirtim pasmerkėte Sokratą, išmintingą vyrą. Žinoma, kas norės jus papeikti, tas sakys, kad aš išmintingas, nors aš nėsu. Kad bent truputį būtute palaukę, jūsų noras būtų savaime išsipildęs. Agi matote, kad aš jau veik atgyvenau savo amžių ir kad arti mano gyvatos galas. Tai aš sakau ne jums visiems, o tik tiems, kurie mane pasmerkėte mirtim.

Taippat turiu aš jums dar štai ką pasakyti. Galbūt jūs, vyrai, manote, jog nuteistas dėl to esu, kad stigo man mintrųjų žodžių, kuriais galėjęs būčiau jus palenkti savo pusėn, jei būčiau laikęs reikalingu daiktu visa ką daryti ir kalbėti, kad tik išvengčiau to jūsų sprendimo? Toli gražu jau ne dėl to! Ai ne, aš nuteistas, kad stigo man tikrai ne tų mintrųjų žodžių, o tik begėdiško drąsumo ir to noro teigti jums toki

ἥδιστα ἦν ἀκούειν, θρηνοῦντός τέ μου καὶ ὀδυρομένου καὶ ἄλλα ποιοῦντος καὶ λέγοντος πολλὰ καὶ ἀνάξια ἐμοῦ, ὡς ἐγώ φημι, οἷα δὴ καὶ εἴθισθε ὑμεῖς τῶν ἄλλων ἀκούειν. ἀλλ' οὔτε τότε ᾠήθην δεῖν ἕνεκα τοῦ κινδύνου πρᾶξαι οὐδὲν ἀνελεύθερον, οὔτε νῦν μοι μεταμέλει οὕτως ἀπολογησαμένῳ, ἀλλὰ πολὺ μᾶλλον αἱροῦμαι ὧδε ἀπολογησάμενος τεθνάναι ἢ ἐκείνως ζῆν. οὔτε γὰρ ἐν δίκῃ οὔτ' ἐν πολέμῳ οὔτ' ἐμὲ οὔτ' ἄλλον οὐδένα δεῖ τοῦτο μηχανᾶσθαι, ὅπως ἀποφεύξεται πᾶν ποιῶν θάνατον. καὶ γὰρ ἐν ταῖς μάχαις πολλάκις δῆλον γίγνεται, ὅτι τό γε ἀποθανεῖν ἄν τις ἐκφύγοι καὶ ὅπλα ἀφεὶς καὶ ἐφ' ἱκετείαν τραπόμενος τῶν διωκόντων· καὶ ἄλλαι μηχαναὶ πολλαί εἰσιν ἐν ἑκάστοις τοῖς κινδύνοις, ὥστε διαφεύγειν θάνατον, ἐάν τις τολμᾷ πᾶν ποιεῖν καὶ λέγειν. ἀλλὰ μὴ οὐ τοῦτ' ᾖ χαλεπόν, ὦ ἄνδρες, θάνατον ἐκφυγεῖν, ἀλλὰ πολὺ χαλεπώτερον πονηρίαν· θᾶττον γὰρ θανάτου θεῖ. καὶ νῦν ἐγὼ μὲν ἅτε βραδὺς ὢν καὶ πρεσβύτης ὑπὸ τοῦ βραδυτέρου ἑάλων· οἱ δ' ἐμοὶ κατήγοροι ἅτε δεινοὶ καὶ ὀξεῖς ὄντες ὑπὸ τοῦ θάττονος, τῆς κακίας. καὶ νῦν ἐγὼ μὲν ἄπειμι ὑφ' ὑμῶν θανάτου δίκην ὀφλών, οὗτοι δ' ὑπὸ τῆς ἀληθείας ὠφληκότες μοχθηρίαν καὶ ἀδικίαν. καὶ ἐγώ τε τῷ τιμήματι ἐμμένω καὶ οὗτοι. ταῦτα μέν που ἴσως οὕτως καὶ ἔδει σχεῖν, καὶ οἶμαι αὐτὰ μετρίως ἔχειν.

XXX. Τὸ δὲ δὴ μετὰ τοῦτο ἐπιθυμῶ ὑμῖν χρησμῳδῆσαι, ὦ καταψηφισάμενοί μου· καὶ γάρ εἰμι

dalykai, kurie labiausiai būtų jums girdėti magėję: mane dejuojant, raudant, darant ir kalbant daugelį kitų daiktų, inžeidžiančių, — tai atkartoju, — mano asmens vertę, — žodžiu sakant, visa, ko esate inpratę iš kitų girdėti. Ir kaip pirma, dargi akivaizdoj pavojaus, aš tarydavau, jog nevalia visai daryti kas netaura, taip ir dabar nesigailiu save taip gynęs. Priešingai, verčiau numirti man, save taip gynus, negu anaip išgelbėjus save, gyventi. Juk nei prieš teismą, nei kare nepridera nei man nei kam kitam gudriai taip sukinėtis, kad tik žūtbūt išvengtume mirties. Ir mūšyje dažnai, mat, aišku esti, jog galėtų kitas àr išlikti gyvas, metęs ginklą, ir prašyti puolęs priešininkų malonės. Ir daug kitų yra dar priemonių visuos pavojuos apsisaugot nuo mirties, jei kas jau nesibjauri visa ką daryti ir kalbėti. Tad netaip sunku, vyrai, iš mirties ištrūkti, daug sunkiau pabėgti iš nedorybės, kadangi ši greičiau už mirtį lekia. Štai ir dabar mane pasenusį gurdelį pagavo gurdžioji lėkėja, o mano kaltintojus, bėgliuosius vikruolius, — greitoji lėkėja, — piktybė. Taip ir dabar mes skirsimės iš čia: aš jūsų nuteistas mirtim, o šitie pasmerkti tiesos už nadorumą ir už neteisumą. Man lieka mano, o jiems jų bausmės nutarimas. Taip gal ir reikėjo atsitikti, ir aš manau, kad tai yra kaip tik gerai.

XXX. Mane ima noras jums, nuteisusiems mane, išburti pagaliau ir tai, kas paskum bus.

ἤδη ἐνταῦθα, ἐν ᾧ μάλιστα ἄνθρωποι χρησμῳδοῦσιν, ὅταν μέλλωσιν ἀποθανεῖσθαι. φημὶ γάρ, ὦ ἄνδρες, οἳ ἐμὲ ἀπεκτόνατε, τιμωρίαν ὑμῖν ἥξειν εὐθὺς μετὰ τὸν ἐμὸν θάνατον πολὺ χαλεπωτέραν νὴ Δία ἢ οἵαν ἐμὲ ἀπεκτόνατε· νῦν γὰρ τοῦτο εἴργασθε οἰόμενοι μὲν ἀπαλλάξεσθαι τοῦ διδόναι ἔλεγχον τοῦ βίου — τὸ δὲ ὑμῖν πολὺ ἐναντίον ἀποβήσεται, ὡς ἐγώ φημι. πλείους ἔσονται ὑμᾶς οἱ ἐλέγχοντες, οὓς νῦν ἐγὼ κατεῖχον, ὑμεῖς δὲ οὐκ ᾐσθάνεσθε· καὶ χαλεπώτεροι ἔσονται, ὅσῳ νεώτεροί εἰσιν, καὶ ὑμεῖς μᾶλλον ἀγανακτήσετε. εἰ γὰρ οἴεσθε ἀποκτείνοντες ἀνθρώπους ἐπισχήσειν τοῦ ὀνειδίζειν τινὰ ὑμῖν, ὅτι οὐκ ὀρθῶς ζῆτε, οὐκ ὀρθῶς διανοεῖσθε· οὐ γάρ ἐσθ' αὕτη ἡ ἀπαλλαγὴ οὔτε πάνυ δυνατὴ οὔτε καλή, ἀλλ' ἐκείνη καὶ καλλίστη καὶ ῥᾴστη, μὴ τοὺς ἄλλους κολούειν, ἀλλ' ἑαυτὸν παρασκευάζειν, ὅπως ἔσται ὡς βέλτιστος· ταῦτα μὲν οὖν ὑμῖν τοῖς καταψηφισαμένοις μαντευσάμενος ἀπαλλάττομαι.

XXXI. Τοῖς δὲ ἀποψηφισαμένοις ἡδέως ἂν διαλεχθείην ὑπὲρ τοῦ γεγονότος τουτουῒ πράγματος, ἐν ᾧ οἱ ἄρχοντες ἀσχολίαν ἄγουσι καὶ οὔπω ἔρχομαι, οἷ ἐλθόντα με δεῖ τεθνάναι. ἀλλά μοι, ὦ ἄνδρες, παραμείνατε τοσοῦτον χρόνον· οὐδὲν γὰρ κωλύει διαμυθολογῆσαι πρὸς ἀλλήλους, ἕως ἔξεστιν. ὑμῖν γὰρ ὡς φίλοις οὖσιν ἐπιδεῖξαι ἐθέλω τὸ νυνί μοι ξυμβεβηκός, τί ποτε νοεῖ.

Jau, mat, atėjo man gyvenimo tas metas, kada žmogus dažniausiai geba spėti àteiną, kai ruošiasi jis mirti. Tad skelbiu, vyrai, jums, kurie gyvatą man pakirtote, kad tuoj po mano jau mirties ateis bausmė jums daug sunkesnė, negu ta, — tai Dzeusas žino, — kuria mane nužudote. Jūs tai padarėte, žinia, tikėdamies atsikratyti nuo savo gyvenimo apyskaitos. Bet jums, kaip aš sakau, visai priešingai tiksis. Daugiau, mat, rasis tų, kurie jus tardydami gaudys ir kuriuos ligšiol aš sulaikydavau, o jūs nepastebėdavote. Kuo jaunesni, tuo grasesni jie bus ir jus labiau piktumas ims. Jei manote, kad, žmones smerkdami mirtim, jūs atgrasysite, kad niekas jums neprikaišiotų, jog neteisiai gyvenate, tai apsirinkate labai. Toks jūsų atsikratymas ir nevisai tėr galimas ir juk netauras. Priešingai, ir padoriausias ir lengviausias būdas čia tai ne kitiems gyvenimas ardyti, bet savo sutvarkyti taip, kad būtum kiek galėdamas geresnis. Šitaip jums, mane pasmerkusiems, išpranašavęs, aš ir atsisveikinu.

XXXI. Tačiau su tais, kurie mane išteisino, būtų malonu man pasikalbėti dėl to invykio, čiapat jau pergyvento, kol vyriausybės žmonės dar tebesiruošia, kol ir man nereikia vykti ten, kur skirta man numirti. Tad pabūkit, vyrai, su manim kiek laiko! Juk nekliudo niekas mums pasišnekėti sau, kol yra leista. Mat, aš noriu jums, kaip savo prieteliams, išaiškinti, ką reiškia tai, kas tik dabar yra man atsitikę.

Ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταί — ὑμᾶς γὰρ δικαστὰς καλῶν ὀρθῶς ἂν καλοίην — θαυμάσιόν τι γέγονεν. ἡ γὰρ εἰωθυῖά μοι μαντικὴ ἐν μὲν τῷ πρόσθεν χρόνῳ παντὶ πάνυ πυκνὴ ἀεὶ ἦν καὶ πάνυ ἐπὶ σμικροῖς ἐναντιουμένη, εἴ τι μέλλοιμι μὴ ὀρθῶς πράξειν· νυνὶ δὲ ξυμβέβηκέ μοι, ἅπερ ὁρᾶτε καὶ αὐτοί, ταυτί, ἅ γε δὴ οἰηθείη ἄν τις καὶ νομίζεται ἔσχατα κακῶν εἶναι. ἐμοὶ δὲ οὔτε ἐξιόντι ἕωθεν οἴκοθεν ἠναντιώθη τὸ τοῦ θεοῦ σημεῖον, οὔτε ἡνίκα ἀνέβαινον ἐνταυθοῖ ἐπὶ τὸ δικαστήριον, οὔτε ἐν τῷ λόγῳ οὐδαμοῦ μέλλοντί τι ἐρεῖν· καίτοι ἐν ἄλλοις λόγοις πολλαχοῦ δή με ἐπέσχε λέγοντα μεταξύ· νῦν δὲ οὐδαμοῦ περὶ ταύτην τὴν πρᾶξιν οὔτ' ἐν ἔργῳ οὐδενὶ οὔτ' ἐν λόγῳ ἠναντίωταί μοι. τί οὖν αἴτιον εἶναι ὑπολαμβάνω; ἐγὼ ὑμῖν ἐρῶ· κινδυνεύει γάρ μοι τὸ ξυμβεβηκὸς τοῦτο ἀγαθὸν γεγονέναι, καὶ οὐκ ἔσθ' ὅπως ἡμεῖς ὀρθῶς ὑπολαμβάνομεν, ὅσοι οἰόμεθα κακὸν εἶναι τὸ τεθνάναι. μέγα μοι τεκμήριον τούτου γέγονεν· οὐ γὰρ ἔσθ' ὅπως οὐκ ἠναντιώθη ἄν μοι τὸ εἰωθὸς σημεῖον, εἰ μή τι ἔμελλον ἐγὼ ἀγαθὸν πράξειν.

XXXII. Ἐννοήσωμεν δὲ καὶ τῇδε, ὡς πολλὴ ἐλπίς ἐστιν ἀγαθὸν αὐτὸ εἶναι. δυοῖν γὰρ θάτερόν ἐστιν τὸ τεθνάναι· ἢ γὰρ οἷον μηδὲν εἶναι μηδὲ αἴσθησιν μηδεμίαν μηδενὸς ἔχειν τὸν τεθνεῶτα, ἢ κατὰ τὰ λεγόμενα μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκησις τῇ ψυχῇ ἐνθένδε εἰς ἄλλον τόπον. καὶ

Tikrai man, teisėjai — taip kreipdamasis, vyrai, galiu teisingai jus vadinti teisėjai — kas keista atsitiko. Inprastas man inspėjimo balsas, tas dieviškasis, visuomet labai jautrus ligšiolei buvo, pasipriešindamas dargi mažmožiuose, kai ketindavau daryti ką ne taip, kaip reikia. O dabar, kaip matote ir patys, atsitiko man čionai, ką nevienas pavadintų juk didžiausiu blogumu, kaip paprastai ir esti manoma. Tuo tarpu nei man einant anksti rytą iš namų tas Dievo ženklas nesipriešino, nei man čionai teisman žengiant, nei dabar kur mano kalboje, kada norėjau ką sakyti. O kitais atsitikimais bekalbant mane jis sustabdydavo dažnai ir pusiau žodžio. Šiandien šitoje mano byloje niekur ir nei kiek jis nesipriešino, nei ką man darant, nei ką man kalbant. Kuri čia priežastis man tenka spėti? Jums aš pasakysiu: šito invykio tikrai man gero esama ir mes, be abejo, klaidingai spėjame, manydami, jog blogas daiktas esanti mirtis. Aš savo žodžiams didelį išrodymą turiu: agi negali būti, kad pažįstamasai ženklas nebūtų manęs sulaikęs, jei aš būčiau tik norėjęs padaryti ką negera.

XXXII. Apmąstykite ir tai, kiek daug yra vilties, kad esama mirtyje laimės. Juk numirti viena yr iš dveja: arba lyg ir visai nebebūti ir, vadinasi, numirus niekài jau nieko nebejusti; arba, kaip sakoma, kažkaip vėlè išnirus sielai persikelt iš čia kiton kur vieton. Jeigu ir

εἴτε μηδεμία αἴσθησίς ἐστιν, ἀλλ' οἷον ὕπνος, ἐπειδάν τις καθεύδων μηδ' ὄναρ μηδὲν ὁρᾷ, θαυμάσιον κέρδος ἂν εἴη ὁ θάνατος· ἐγὼ γὰρ ἂν οἶμαι, εἴ τινα ἐκλεξάμενον δέοι ταύτην τὴν νύκτα, ἐν ᾗ οὕτω κατέδαρθεν, ὥστε μηδὲ ὄναρ ἰδεῖν, καὶ τὰς ἄλλας νύκτας τε καὶ ἡμέρας τὰς τοῦ βίου τοῦ ἑαυτοῦ ἀντιπαραθέντα ταύτῃ τῇ νυκτὶ δέοι σκεψάμενον εἰπεῖν, πόσας ἄμεινον καὶ ἥδιον ἡμέρας καὶ νύκτας ταύτης τῆς νυκτὸς βεβίωκεν ἐν τῷ ἑαυτοῦ βίῳ, οἶμαι ἂν — μὴ ὅτι ἰδιώτην τινά, ἀλλὰ τὸν μέγαν βασιλέα — εὐαριθμήτους ἂν εὑρεῖν αὐτὸν ταύτας πρὸς τὰς ἄλλας ἡμέρας καὶ νύκτας. εἰ οὖν τοιοῦτον ὁ θάνατός ἐστιν, κέρδος ἔγωγε λέγω· καὶ γὰρ οὐδὲν πλείων ὁ πᾶς χρόνος φαίνεται οὕτω δὴ εἶναι ἢ μία νύξ. εἰ δ' αὖ οἷον ἀποδημῆσαί ἐστιν ὁ θάνατος ἐνθένδε εἰς ἄλλον τόπον καὶ ἀληθῆ ἐστιν τὰ λεγόμενα, ὡς ἄρα ἐκεῖ εἰσιν ἅπαντες οἱ τεθνεῶτες, τί μεῖζον ἀγαθὸν τούτου εἴη ἄν, ὦ ἄνδρες δικασταί; εἰ γάρ τις ἀφικόμενος εἰς Ἅιδου, ἀπαλλαγεὶς τούτων τῶν φασκόντων δικαστῶν εἶναι, εὑρήσει τοὺς ἀληθῶς δικαστάς, οἵπερ καὶ λέγονται ἐκεῖ δικάζειν, Μίνως τε καὶ Ῥαδάμανθυς καὶ Αἰακὸς καὶ Τριπτόλεμος καὶ ἄλλοι, ὅσοι τῶν ἡμιθέων δίκαιοι ἐγένοντο ἐν τῷ ἑαυτῶν βίῳ, ἆρα φαύλη ἂν εἴη ἡ ἀποδημία; ἢ αὖ Ὀρφεῖ ξυγγενέσθαι καὶ Μουσαίῳ καὶ Ἡσιόδῳ καὶ Ὁμήρῳ ἐπὶ πόσῳ ἄν τις δέξαιτ' ἂν ὑμῶν; ἐγὼ μὲν γὰρ πολλάκις ἐθέλω τεθνάναι, εἰ ταῦτ' ἐστὶν ἀληθῆ· ἐπεὶ ἔμοιγε καὶ αὐτῷ θαυμαστὴ ἂν εἴη ἡ διατριβὴ αὐτόθι, ὁπότε ἐντύχοιμι Παλαμήδει καὶ Αἴαντι τῷ Τελαμῶνος καὶ εἴ τις ἄλλος τῶν παλαιῶν

jausti nieko jau nebejunti, jei tat yra kaip miegas toks, kada užmigęs nei sapnuoti nesapnuoji, tad kokia stebuklinga dovana būtų mirti! Man regis, kad jei tektų kam sau pasirinkti viena tokia naktis, kuria jis išmiegotų jokio sapno nesapnavęs, ir paskum reiktų jam, sulyginus kitas savo gyvenimo naktis ir dienas su tąja naktimi, gerai pagalvojus pasakyti, kiek dienų ir kiek naktų jis bus savo gyvenime geriau ir maloniau praleidęs už tą naktį, — man regis, kad ne vien koks paprastas žmogus, bet ir Didysis Valdovas, ir tas rastų jas lengviai suskaitomas prieš kitas dienas ir naktis. Vadinas, jei mirtis yra toks daiktas, tai galiu aš ją vadinti dovana, nes tada ir visas laikas rodos ne ilgesnis, kaip viena vienintelė tokia naktis. Jei, antra vertus, mirtis yra lyg ir persikėlimas iš čia kiton vieton, jei tiesa, kaip žmonės pasakoja, kad ten esą susirinkę mirusieji, tai kuri kita laimė, teisėjai, galėtų būt didesnė už tatai? Jei kas Hadan nuvyktų, atsikratęs šitų vyrų, teisėjais vadinančių save, ir rastų jis tikrus teisėjus ten, kaip mena, tiesą darančius, — Miną, Radamantį, Ajaką, Triptolemą ir kitus pusdievius, kurie gyvendami teisingi buvo, — tad argi blogas būtų toks persikėlimas? Arba ir vėl, kad susitiktume su Orfiejum, Musajum, Hesiodu ir Homėru, kiek duotute už tai nevienas jūs? Bent aš norėčiau kelis sykius numirti, jei visa tat yra tiesa. Agi labiausiai man būtų puikus tenai gyvenimas: susitikus su Palamėdu, su Ajantu, Telamono sūnumi, su bet kuriuo senovės vyru,

διὰ κρίσιν ἄδικον τέθνηκεν, ἀντιπαραβάλλοντι τὰ ἐμαυτοῦ πάθη πρὸς τὰ ἐκείνων, ὡς ἐγὼ οἶμαι, οὐκ ἂν ἀηδὲς εἴη. καὶ δὴ τὸ μέγιστον, τοὺς ἐκεῖ ἐξετάζοντα καὶ ἐρευνῶντα ὥσπερ τοὺς ἐνταῦθα διάγειν, τίς αὐτῶν σοφός ἐστιν καὶ τίς οἴεται μέν, ἔστιν δ' οὔ. ἐπὶ πόσῳ δ' ἄν τις, ὦ ἄνδρες δικασταί, δέξαιτο ἐξετάσαι τὸν ἐπὶ Τροίαν ἀγαγόντα τὴν πολλὴν στρατιὰν ἢ 'Οδυσσέα ἢ Σίσυφον — ἢ ἄλλους μυρίους ἄν τις εἴποι, καὶ ἄνδρας καὶ γυναῖκας — οἷς ἐκεῖ διαλέγεσθαι καὶ ξυνεῖναι καὶ ἐξετάζειν ἀμήχανον ἂν εἴη εὐδαιμονίας. πάντως οὐ δήπου τούτου γε ἕνεκα οἱ ἐκεῖ ἀποκτείνουσι· τά τε γὰρ ἄλλα εὐδαιμονέστεροί εἰσιν οἱ ἐκεῖ τῶν ἐνθάδε καὶ ἤδη τὸν λοιπὸν χρόνον ἀθάνατοί εἰσιν, εἴπερ γε τὰ λεγόμενα ἀληθῆ ἐστιν.

XXXIII. 'Αλλὰ καὶ ὑμᾶς χρή, ὦ ἄνδρες δικασταί, εὐέλπιδας εἶναι πρὸς τὸν θάνατον καὶ ἕν τι τοῦτο διανοεῖσθαι ἀληθές, ὅτι οὐκ ἔστιν ἀνδρὶ ἀγαθῷ κακὸν οὐδὲν οὔτε ζῶντι οὔτε τελευτήσαντι, οὐδὲ ἀμελεῖται ὑπὸ θεῶν τὰ τούτου πράγματα· οὐδὲ τὰ ἐμὰ νῦν ἀπὸ τοῦ αὐτομάτου γέγονεν, ἀλλά μοι δῆλόν ἐστι τοῦτο, ὅτι ἤδη τεθνάναι καὶ ἀπηλλάχθαι πραγμάτων βέλτιον ἦν μοι. διὰ τοῦτο καὶ ἐμὲ οὐδαμοῦ ἀπέτρεψεν τὸ σημεῖον, καὶ ἔγωγε τοῖς καταψηφισαμένοις μου καὶ τοῖς κατηγόροις οὐ πάνυ χαλεπαίνω. καίτοι οὐ ταύτῃ τῇ διανοίᾳ κατεψηφίζοντό μου καὶ κατηγόρουν, ἀλλ' οἰόμενοι βλάπτειν· τοῦτο αὐτοῖς ἄξιον μέμφεσθαι. τοσόνδε μέντοι αὐτῶν δέομαι· τοὺς ὑεῖς μου, ἐπειδὰν ἡβήσωσι, τιμωρήσασθε, ὦ ἄνδρες, ταὐτὰ ταῦτα λυποῦντες, ἅπερ ἐγὼ ὑμᾶς ἐλύπουν, ἐὰν ὑμῖν δοκῶσιν ἢ

lyginti savo buitis su jųjų negi nemiela man būtų, kaip aš manau. Pagaliau, smagiausia man būtų gyventi klausinėjant, tyrinėjant ten anuos, kaip ir šiuos čionai, kuris iš jų tikrai yra išmintingas. Tad kiek, teisėjai, tūlas duotų, kad galėtų išklausinėti vyrą, atvedusį prieš Troją tas begales kareivių, arba Odisiejų, arba Sisifą, arba nesuskaitomą daugybę kitų vyrų ir moterų, kuriuos kas pasakytų? Su jais tenai kalbėtis ir bendrauti, klausinėti juos būtų juk laimė neišsakoma. Tenai dėl to tikrai nesmerkia mirtimi. Mat, šiapjau būdami laimingesni už mus čia žemėje, anie tenai, be to, palieka visą laiką dar nemirtingi, jei tat yra tiesa, kaip sako žmonės.

XXXIII. Bet ir jums, teisėjai mano, reikia būti geros vilties, turint akivaizdoje mirtį, ir insidėti galvon vien ši tiesa, kad geram žmogui nieko blogo nesti, nei dar gyvam, nei jau numirusiam, ir kad Dievai nenustoja rūpinęsi jo likimu. Agi kas man dabar atsitiko, tai atsitiko ne savaime; priešingai, man aišku, kad man geriau buvo jau numirti ir visų vargų atsikratyti. Dėl to ir tas ženklas niekur mane nesulaikė, ir aš pats nelabai tepykstu nei ant tų, kurie nuteisė mane, nei ant savo skundėjų. Jie smerkė mane ir kaltino, žinoma, ne taip manydami, o tikėdamies blogai man padarysią; už tai jie yra peiktini. Bet vieno daikto juos prašau: pabauskite, vyrai, mano sūnus, kai užaugs, kamuodami juos lygiai taip, kaip aš jus kamuodavau, jeigu

χρημάτων ἢ ἄλλου του πρότερον ἐπιμελεῖσθαι ἢ ἀρετῆς, καὶ ἐὰν δοκῶσί τι εἶναι μηδὲν ὄντες, ὀνειδίζετε αὐτοῖς, ὥσπερ ἐγὼ ὑμῖν, ὅτι οὐκ ἐπιμελοῦνται ὧν δεῖ καὶ οἴονταί τι εἶναι ὄντες οὐδενὸς ἄξιοι. καὶ ἐὰν ταῦτα ποιῆτε, δίκαια πεπονθὼς ἐγὼ ἔσομαι ὑφ' ὑμῶν αὐτός τε καὶ οἱ ὑεῖς.

Ἀλλὰ γὰρ ἤδη ὥρα ἀπιέναι, ἐμοὶ μὲν ἀποθανουμένῳ, ὑμῖν δὲ βιωσομένοις· ὁπότεροι δὲ ἡμῶν ἔρχονται ἐπὶ ἄμεινον πρᾶγμα, ἄδηλον παντὶ πλὴν εἰ τῷ θεῷ.

jums rodysis, kad rūpinasi daugiau pinigais ar kitu kuriuo mažmožiu, negu dorybe. Ir jei dingotųsi kažkas esą, tikrai būdami niekas, tai apžoskite juos, kaip aš jus apžosdavau, kad nesirūpina, kuo reikia, o vedasi didžiai, būdami nieko neverti. Jei taip darysite, tai jūsų bus teisingai su manim pasielgta; su manim ir su mano sūnumis.

Bet jau metas eiti — man mirti, o jums dar gyventi. Katrų mūsų geresnė buitis laukia, to niekas tikrai nežino. Negu tik Dievas.

ΚΡΙΤΩΝ

KRITONAS

ΚΡΙΤΩΝ

I. ΣΩ. Τί τηνικάδε ἀφῖξαι, ὦ Κρίτων; ἢ οὐ πρῴ ἔτι ἐστίν;

ΚΡ. Πάνυ μὲν οὖν.

ΣΩ. Πηνίκα μάλιστα;

ΚΡ. Ὄρθρος βαθύς.

ΣΩ. Θαυμάζω, ὅπως ἠθέλησέ σοι ὁ τοῦ δεσμωτηρίου φύλαξ ὑπακοῦσαι.

ΚΡ. Συνήθης ἤδη μοί ἐστιν, ὦ Σώκρατες, διὰ τὸ πολλάκις δεῦρο φοιτᾶν, καί τι καὶ εὐεργέτηται ὑπ' ἐμοῦ.

ΣΩ. Ἄρτι δὲ ἥκεις ἢ πάλαι;

ΚΡ. Ἐπιεικῶς πάλαι.

ΣΩ. Εἶτα πῶς οὐκ εὐθὺς ἐπήγειράς με, ἀλλὰ σιγῇ παρακάθησαι;

ΚΡ. Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐδ' ἂν αὐτὸς ἤθελον ἐν τοσαύτῃ τε ἀγρυπνίᾳ καὶ λύπῃ εἶναι, ἀλλὰ καὶ σοῦ πάλαι θαυμάζω αἰσθανόμενος, ὡς ἡδέως καθεύδεις· καὶ ἐπίτηδές σε οὐκ ἤγειρον, ἵνα ὡς ἥδιστα διάγῃς. καὶ πολλάκις μὲν δή σε καὶ πρότερον ἐν παντὶ τῷ βίῳ ηὐδαιμόνισα τοῦ τρόπου, πολὺ δὲ μάλιστα ἐν τῇ νῦν παρεστώσῃ συμφορᾷ, ὡς ῥᾳδίως αὐτὴν καὶ πρᾴως φέρεις.

KRITONAS

I. SOKRATAS. Ko atėjai, Kritonai, šiuo metu? Argi dar ne anksti?

KRITONAS. Ir labai anksti.

SOKRATAS. Tai kuris gi metas?

KRITONAS. Vos ima švisti.

SOKRATAS. Stebiuosi, kad sutiko inleisti čia tave kalėjimo sargas.

KRITONAS. Jis man pažįstamas, Sokratai. Mat, dažnai apsilankau čionai... Be to, iis iš manęs yra gavęs dovanų...

SOKRATAS. Ar tik dabar, ar jau seniai esi atėjęs?

KRITONAS. Tai jau seniai.

SOKRATAS. Tai kodėl tuoj manęs tu nepažadinai, o tik šalymais atsisėdęs sau tyli?

KRITONAS. Sokratai, Dzeusas žino! Ag ir aš patsai nepanorėčiau būti nemiegojęs taip ilgai ir dar tokiame sielvarte. O in tave žiūrėdamas stebiucsi, kaip saldžiai miegi; ir tyčia aš nebudinau tavęs, kad gautum pasilsėti ko ramiausiai. Žinoma, dažnai jau ir pirma aš sau tarydavau, kokio laimingo tavo būdo esama ir šiaip gyvenime, labiausiai šitoje dabar nelaimėje; kaip lengvai, kantriai ją tu pakeli!

ΣΩ. Καὶ γὰρ ἄν, ὦ Κρίτων, πλημμελὲς εἴη ἀγανακτεῖν τηλικοῦτον ὄντα, εἰ δεῖ ἤδη τελευτᾶν.

ΚΡ. Καὶ ἄλλοι, ὦ Σώκρατες, τηλικοῦτοι ἐν τοιαύταις συμφοραῖς ἁλίσκονται, ἀλλ' οὐδὲν αὐτοὺς ἐπιλύεται ἡ ἡλικία τὸ μὴ οὐχὶ ἀγανακτεῖν τῇ παρούσῃ τύχῃ.

ΣΩ. Ἔστι ταῦτα. ἀλλὰ τί δὴ οὕτω πρῴ ἀφῖξαι;

ΚΡ. Ἀγγελίαν, ὦ Σώκρατες, φέρων χαλεπήν, οὐ σοί, ὡς ἐμοὶ φαίνεται, ἀλλ' ἐμοὶ καὶ τοῖς σοῖς ἐπιτηδείοις πᾶσιν καὶ χαλεπὴν καὶ βαρεῖαν, ἣν ἐγώ, ὡς ἐμοὶ δοκῶ, ἐν τοῖς βαρύτατ' ἂν ἐνέγκαιμι.

ΣΩ. Τίνα ταύτην; ἢ τὸ πλοῖον ἀφῖκται ἐκ Δήλου, οὗ δεῖ ἀφικομένου τεθνάναι με;

ΚΡ. Οὔ τοι δὴ ἀφῖκται, ἀλλὰ δοκεῖ μέν μοι ἥξειν τήμερον ἐξ ὧν ἀπαγγέλλουσιν ἥκοντές τινες ἀπὸ Σουνίου καὶ καταλιπόντες ἐκεῖ αὐτό. δῆλον οὖν ἐκ τούτων τῶν ἀγγέλων, ὅτι ἥξει τήμερον, καὶ ἀνάγκη δὴ εἰς αὔριον ἔσται, ὦ Σώκρατες, τὸν βίον σε τελευτᾶν.

II. ΣΩ. Ἀλλ', ὦ Κρίτων, τύχῃ ἀγαθῇ· εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ ἔστω. οὐ μέντοι οἶμαι ἥξειν αὐτὸ τήμερον.

ΚΡ. Πόθεν τοῦτο τεκμαίρῃ;

ΣΩ. Ἐγώ σοι ἐρῶ. τῇ γάρ που ὑστεραίᾳ δεῖ με ἀποθνῄσκειν ἢ ᾗ ἂν ἔλθῃ τὸ πλοῖον.

ΚΡ. Φασί γέ τοι δὴ οἱ τούτων κύριοι.

SOKRATAS. Agi mat, Kritonai, ir nepriderėtų man, tiek metų sulaukus, berūgoti, kad jau reikia mirti.

KRITONAS. Ir kiti, Sokratai, to pat amžiaus būdami, pakliūva juk tokion nelaimėn, bet nei kiek nekliudo jiems senatvė skųstis juos sutikusia buitim.

SOKRATAS. Tai tiesa. Bet ko taip anksti atėjai?

KRITONAS. Liūdną žinią atnešu, Sokratai; tik ne tau, kaip aš regiu, bet man ir tavo artimiesiems liūdną, slogią; ji gal man, kaip rodosi, visų sunkiausia bus pakelti.

SOKRATAS. Kokią gi žinią? Gal iš Dėlo laivas jau sugrįžęs bus, kuriam parvykus reikia man numirti?

KRITONAS. Sugrįžti jis dar nesugrįžo, šiandien betgi, regis man, sugrįš. Taip kalba žmonės kaikurie, iš Sūnijo atėję ir tenai palikę laivą. Tai iš jų žinios matyti aiškiai, jog dar šiandien jis parvyks ir jog dėl to rytoj, Sokratai, reiks gyvenimas tau baigti.

II. SOKRATAS. Tad ir gerai, Kritonai! Teesie ir taip, jeigu dievai taip nori. Bet aš tai nemanau, kad šiandien jis parvyks.

KRITONAS. Iš ko tu spėji taip?

SOKRATAS. Aš pasakysiu tau. Mat, reikia mirti man rytojaus dieną, kai tas laivas bus parėjęs jau.

KRITONAS. Taip sako čia bent vyresnybė.

ΣΩ. Οὐ τοίνυν τῆς ἐπιούσης ἡμέρας οἶμαι αὐτὸ ἥξειν, ἀλλὰ τῆς ἑτέρας. τεκμαίρομαι δὲ ἔκ τινος ἐνυπνίου, ὃ ἑώρακα ὀλίγον πρότερον ταύτης τῆς νυκτός· καὶ κινδυνεύεις ἐν καιρῷ τινι οὐκ ἐγεῖραί με.

ΚΡ. Ἦν δὲ δὴ τί τὸ ἐνύπνιον;

ΣΩ. Ἐδόκει τίς μοι γυνὴ προσελθοῦσα καλὴ καὶ εὐειδής, λευκὰ ἱμάτια ἔχουσα, καλέσαι με καὶ εἰπεῖν· Ὦ Σώκρατες,

ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἵκοιο.

ΚΡ. Ἄτοπον τὸ ἐνύπνιον, ὦ Σώκρατες.

ΣΩ. Ἐναργὲς μὲν οὖν, ὥς γέ μοι δοκεῖ, ὦ Κρίτων.

III. ΚΡ. Λίαν γε, ὡς ἔοικεν. ἀλλ', ὦ δαιμόνιε Σώκρατες, ἔτι καὶ νῦν ἐμοὶ πείθου καὶ σώθητι· ὡς ἐμοί, ἐὰν σὺ ἀποθάνῃς, οὐ μία συμφορά ἐστιν, ἀλλὰ χωρὶς μὲν τοῦ ἐστερῆσθαι τοιούτου ἐπιτηδείου, οἷον ἐγὼ οὐδένα μή ποτε εὑρήσω, ἔτι δὲ καὶ πολλοῖς δόξω, οἳ ἐμὲ καὶ σὲ μὴ σαφῶς ἴσασιν, ὡς οἷός τ' ὢν σε σῴζειν, εἰ ἤθελον ἀναλίσκειν χρήματα, ἀμελῆσαι. καίτοι τίς ἂν αἰσχίων εἴη ταύτης δόξα ἢ δοκεῖν χρήματα περὶ πλείονος ποιεῖσθαι ἢ φίλους; οὐ γὰρ πείσονται οἱ πολλοί, ὡς σὺ αὐτὸς οὐκ ἠθέλησας ἀπιέναι ἐνθένδε ἡμῶν προθυμουμένων.

ΣΩ. Ἀλλὰ τί ἡμῖν, ὦ μακάριε Κρίτων, οὕτω τῆς τῶν πολλῶν δόξης μέλει; οἱ γὰρ ἐπιεικέστατοι,

SOKRATAS. Tad aš manau, kad jis pareis ne šią, beauštančią, bet kitą dar, rytojaus dieną. Spėju tai iš sapno, šiąnakt mano tik prieš valandėlę dar sapnuoto. Gal kaip tik gerai ir padaryta tavo, kad nebudinta manęs.

KRITONAS. Ir kas gi buvo tai per sapnas?

SOKRATAS. Tarytum, štai viena graži, dailios lyties moteriškė, baltais rūbais, priėjo in mane ir, vardu vadindama, man tarė: „Sokratai, trečiąją dieną atvyksi derlingojon Phtijon".

KRITONAS. Koks keistas sapnas tas, Sokratai!

SOKRATAS. Tai ženklus, Kritonai, kaip man rodosi.

III. KRITONAS. Ir perlabai, manding! Bet ir dabar, Sokratai brangusai, dar paklausyk manęs ir gelbėkis. Juk man, jei numirsi, tai ne viena nelaimė bus: be to, kad aš nustosiu prietelio tokio, kokio niekad ir niekur nerasiu, dar daugeliui, kas nepažįsta mudviejų gerai, aš rodysiuos nepasirūpinęs tave išgelbėti, nors ir galėjęs, jei nepagailėjęs būčiau pinigų. Ir kas pikčiau galėtų būti už tą girdą, kaip intariamiems mums būti, jogei pinigus daugiau mes vertinam, nei savo prietelius? Agi nepatikės dauguomenė, jog tu išeiti iš čionai nepanorėjai pats, nors mūsų rimtas buvo rūpestis.

SOKRATAS. Ir kam sielotis mums, Kritonai tu mielasis, ką čia pasakys minia? Juk

ὧν μᾶλλον ἄξιον φροντίζειν, ἡγήσονται αὐτὰ οὕτω πεπρᾶχθαι, ὥσπερ ἂν πραχθῇ.

ΚΡ. Ἀλλ' ὁρᾷς δή, ὅτι ἀνάγκη, ὦ Σώκρατες, καὶ τῆς τῶν πολλῶν δόξης μέλειν. αὐτὰ δὲ δῆλα τὰ παρόντα νυνί, ὅτι οἷοί τ' εἰσὶν οἱ πολλοὶ οὐ τὰ σμικρότατα τῶν κακῶν ἐξεργάζεσθαι, ἀλλὰ τὰ μέγιστα σχεδόν, ἐάν τις ἐν αὐτοῖς διαβεβλημένος ᾖ.

ΣΩ. Εἰ γὰρ ὤφελον, ὦ Κρίτων, οἷοί τ' εἶναι οἱ πολλοὶ τὰ μέγιστα κακὰ ἐργάζεσθαι, ἵνα οἷοί τ' ἦσαν καὶ ἀγαθὰ τὰ μέγιστα, καὶ καλῶς ἂν εἶχεν. νῦν δὲ οὐδέτερα οἷοί τε· οὔτε γὰρ φρόνιμον οὔτε ἄφρονα δυνατοὶ ποιῆσαι, ποιοῦσι δὲ τοῦτο, ὅ τι ἂν τύχωσιν.

IV. ΚΡ. Ταῦτα μὲν δὴ οὕτως ἐχέτω· τάδε δέ, ὦ Σώκρατες, εἰπέ μοι. ἆρά γε μὴ ἐμοῦ προμηθῇ καὶ τῶν ἄλλων ἐπιτηδείων, μή, ἐὰν σὺ ἐνθένδε ἐξέλθῃς, οἱ συκοφάνται ἡμῖν πράγματα παρέχωσιν ὡς σὲ ἐνθένδε ἐκκλέψασιν, καὶ ἀναγκασθῶμεν ἢ καὶ πᾶσαν τὴν οὐσίαν ἀποβαλεῖν ἢ συχνὰ χρήματα ἢ καὶ ἄλλο τι πρὸς τούτοις παθεῖν; εἰ γάρ τι τοιοῦτον φοβῇ, ἔασον αὐτὸ χαίρειν· ἡμεῖς γάρ που δίκαιοί ἐσμεν σώσαντές σε κινδυνεύειν τοῦτον τὸν κίνδυνον καί, ἐὰν δέῃ, ἔτι τούτου μείζω. ἀλλ' ἐμοὶ πείθου καὶ μὴ ἄλλως ποίει.

ΣΩ. Καὶ ταῦτα προμηθοῦμαι, ὦ Κρίτων, καὶ ἄλλα πολλά.

padorieji, protingieji žmonės, dėl kurių daugiau susimąstyti verta, pamanys, jog atsitiko taip, kaip atsitikę yra.

KRITONAS. Bet jau matai, Sokratai, kad mums tenka susirūpinti ir nuomone minios. Iš to, kas darosi dabar, yra peraišku, jogei žmonės gali pridaryti ne mažiausia, bet tiesiog daugiausia blogo, jei piktai kas skelbiamas yra jų tarpe.

SOKRATAS. Tegalie, Kritonai, minios ir daugiau blogo pridaryti, tada galėtų ir daugiausia gero. Tai puiku būtų! Bet jos negali nei katraip, — nei šio nei to. Nestengia jos žmogaus nei neprotingo, nei protingo padaryti, o padaro tai, kas pasitaiko.

IV. KRITONAS. Tegu tikrai būtų ir taip. Bet pasakyk, Sokratai, man štai ką: ar tu nesusirūpinęs jau kartais dėl manęs ir dėl kitų draugų, kad, tau iš čia ištrūkus, indavėjai mums nepridarytų nesmagumų, kam tave iš čia mes išvogėme, ir kad mums netektų, mat, prarasti visas savo turtas arba eibės pinigų ir dar, be to, nekliūtų mums ko kito? Jei bijai tokių dalykų, tai juk niekis! Agi mes, tave begelbėdami, pridera me stoti šitokin pavojun ir, jeigu prireiktų, tai ir didesnin už tą. Tad paklausyk manęs ir šitaip padaryk!

SOKRATAS. Aš susirūpinęs ir tuo, Kritonai, ir kitu kuo daugeliu.

ΚΡ. Μήτε τοίνυν ταῦτα φοβοῦ· καὶ γὰρ οὐδὲ πολὺ τἀργύριόν ἐστιν, ὃ θέλουσι λαβόντες τινὲς σῶσαί σε καὶ ἐξαγαγεῖν ἐνθένδε. ἔπειτα οὐχ ὁρᾷς τούτους τοὺς συκοφάντας ὡς εὐτελεῖς, καὶ οὐδὲν ἂν δέοι ἐπ᾽ αὐτοὺς πολλοῦ ἀργυρίου; σοὶ δὲ ὑπάρχει μὲν τὰ ἐμὰ χρήματα, ὡς ἐγὼ οἶμαι, ἱκανά· ἔπειτα καὶ εἴ τι ἐμοῦ κηδόμενος οὐκ οἴει δεῖν ἀναλίσκειν τἀμά, ξένοι οὗτοι ἐνθάδε ἕτοιμοι ἀναλίσκειν· εἷς δὲ καὶ κεκόμικεν ἐπ᾽ αὐτὸ τοῦτο ἀργύριον ἱκανόν, Σιμμίας ὁ Θηβαῖος· ἕτοιμος δὲ καὶ Κέβης καὶ ἄλλοι πολλοὶ πάνυ. ὥστε, ὅπερ λέγω, μήτε ταῦτα φοβούμενος ἀποκάμῃς σαυτὸν σῶσαι, μήτε, ὃ ἔλεγες ἐν τῷ δικαστηρίῳ, δυσχερές σοι γενέσθω, ὅτι οὐκ ἂν ἔχοις ἐξελθών, ὅ τι χρῷο σαυτῷ· πολλαχοῦ μὲν γὰρ καὶ ἄλλοσε, ὅποι ἂν ἀφίκῃ, ἀγαπήσουσί σε· ἐὰν δὲ βούλῃ εἰς Θετταλίαν ἰέναι, εἰσὶν ἐμοὶ ἐκεῖ ξένοι, οἵ σε περὶ πολλοῦ ποιήσονται καὶ ἀσφάλειάν σοι παρέξονται, ὥστε σε μηδένα λυπεῖν τῶν κατὰ Θετταλίαν.

V. Ἔτι δέ, ὦ Σώκρατες, οὐδὲ δίκαιόν μοι δοκεῖς ἐπιχειρεῖν πρᾶγμα, σαυτὸν προδοῦναι, ἐξὸν σωθῆναι· καὶ τοιαῦτα σπεύδεις περὶ σαυτὸν γενέσθαι, ἅπερ ἂν καὶ οἱ ἐχθροί σου σπεύσαιέν τε καὶ ἔσπευσάν σε διαφθεῖραι βουλόμενοι. πρὸς δὲ τούτοις καὶ τοὺς ὑεῖς τοὺς σαυτοῦ ἔμοιγε δοκεῖς προδιδόναι, οὕς σοι ἐξὸν καὶ ἐκθρέψαι καὶ ἐκπαιδεῦσαι οἰχήσῃ καταλιπών, καὶ τὸ σὸν μέρος, ὅ τι ἂν τύχωσι, τοῦτο πράξουσιν· τεύξονται δέ, ὡς τὸ εἰκός, τοιούτων οἷάπερ εἴωθε

KRITONAS. Taigi nebijok nei to. Agi ir pinigų nedaug paimtų norintieji gelbėti tave ir iš čionai išvesti. Be to, ar nežinai tų indavėjų, kaip pigiai paperkami ir kaip nedaug tereiktų pinigų nulenkti jiems? O tavo reikalui yra bent mano lėšos; jų, manau, pakaktų. Jei tačiau vengu tau būtų dėl manęs ir tu manytumei, jog nedera manųjų liesti, čia tie prašalaičiai pasiryžę duoti lėšų. Vienas tai ir atsinešęs turi pinigų tam reikalui gana: Simmijas iš Tėbų. Kėbetas ir daugelis kitų taippat jau mielu noru duotų. Taigi, kaip sakau, nei tau, to rūpesčio kamuojamam, derėtų liautis gelbėjus save, nei, kaip sakei teisme, sielotis tau vertėtų, kad iš čia išėjęs nežinotum, kas ir bedaryti su savim. Juk daugel vietų ir svetur, kur tik nuvyktum, būsi sutiktas meilingai. Jei Tessalijon keliauti nori, tai turiu ten prietelių, pažįstamų, kurie tave labai jau gerbs ir tave priglaudę saugos, taip kad nei vienas tessalėnas tau nemalonumų nedarys.

V. Ir dar, Sokratai, regis man, tu neteisaus imiesi darbo, pražudydamas save, nors galima tau išsigelbėti; ir tu dirbi savo nebuičiai taip stropiai, kaip galėtų dirbti tavo priešai, kaip yra jau padirbėję, tavo pražūties norėdami. Be to, man rodosi, tu savo sūnus, dar tikrus, išduodi klaikiajam likimui; juos galėdamas užūgdyti, išleisti ir žmonėsin, pameti juos dingęs; tavo kaltė bus, kad jie kaip tinkami manysis patys; jų buitis, veikiausia, bus tokia, kokia jau esti

γίγνεσθαι ἐν ταῖς ὀρφανίαις περὶ τοὺς ὀρφανούς. ἢ γὰρ οὐ χρὴ ποιεῖσθαι παῖδας ἢ συνδιαταλαιπωρεῖν καὶ τρέφοντα καὶ παιδεύοντα· σὺ δέ μοι δοκεῖς τὰ ῥᾳθυμότατα αἱρεῖσθαι. χρὴ δὲ ἅπερ ἂν ἀνὴρ ἀγαθὸς καὶ ἀνδρεῖος ἕλοιτο, ταῦτα αἱρεῖσθαι, φάσκοντά γε δὴ ἀρετῆς διὰ παντὸς τοῦ βίου ἐπιμελεῖσθαι· ὡς ἔγωγε καὶ ὑπὲρ σοῦ καὶ ὑπὲρ ἡμῶν τῶν σῶν ἐπιτηδείων αἰσχύνομαι, μὴ δόξῃ ἅπαν τὸ πρᾶγμα τὸ περὶ σὲ ἀνανδρίᾳ τινὶ τῇ ἡμετέρᾳ πεπρᾶχθαι, καὶ ἡ εἴσοδος τῆς δίκης εἰς τὸ δικαστήριον, ὡς εἰσῆλθεν, ἐξὸν μὴ εἰσελθεῖν, καὶ αὐτὸς ὁ ἀγὼν τῆς δίκης, ὡς ἐγένετο, καὶ τὸ τελευταῖον δὴ τουτί, ὥσπερ κατάγελως τῆς πράξεως, κακίᾳ τινὶ καὶ ἀνανδρίᾳ τῇ ἡμετέρᾳ διαπεφευγέναι ἡμᾶς δοκεῖν, οἵτινές σε οὐχὶ ἐσώσαμεν οὐδὲ σὺ σαυτόν, οἷόν τε ὂν καὶ δυνατόν, εἴ τι καὶ μικρὸν ἡμῶν ὄφελος ἦν. ταῦτα οὖν, ὦ Σώκρατες, ὅρα μὴ ἅμα τῷ κακῷ καὶ αἰσχρὰ ᾖ σοί τε καὶ ἡμῖν. ἀλλὰ βουλεύου — μᾶλλον δὲ οὐδὲ βουλεύεσθαι ἔτι ὥρα, ἀλλὰ βεβουλεῦσθαι — μία δὲ βουλή· τῆς γαρ ἐπιούσης νυκτὸς πάντα ταῦτα δεῖ πεπρᾶχθαι, εἰ δ' ἔτι περιμενοῦμεν, ἀδύνατον καὶ οὐκέτι οἷόν τε. ἀλλὰ παντὶ τρόπῳ, ὦ Σώκρατες, πείθου μοι καὶ μηδαμῶς ἄλλως ποίει.

VI. ΣΩ. Ὦ φίλε Κρίτων, ἡ προθυμία σου πολλοῦ ἀξία, εἰ μετά τινος ὀρθότητος εἴη· εἰ δὲ μή,

paprastai vienái vienų palikusių našlaičių. Ag arba nereikia, mat, vaikų gimdyti arba su jais drauge ir vargas tenka vargti, ūgdant juos ir mokant. Tu pasirenki, man matos, kas lengviausia. Tam, kurs sakosi, kad jam rūpėjusi per visą jo gyvenimą dorybė, — tam nederėtų rinktis tai, ką tauras ir drąsus vyras nepasirinktų. O kai man, tai sarmata ir dėl tavęs, na, ir dėl mūsų, tavo artimų žmonių, kad rodysis, jog visa tau taip atsitiko vien per mūsų kažkokį baigštumą: skundas teisme atsidūrė, tad prieš jį ir stoti teko, nors ir buvo galima jo išsilenkti, ir pati bylos eiga tokia, kokia ji buvo, pagaliau ir tas jau galas iš tikrųjų, lyg ir pajuokimas viso to dalyko, kur per mūsų kažkokį jau netikumą ir baigštumą mums, tarytumei, slyste iš rankų ten išslydo taip, kad mes nebeišgelbėjom tavęs nei tu savęs, o betgi galima tai būtų buvę, jei nors truputį mes būtume kam tikę! Tad žiūrėk, Sokratai, kad, be tos nelaimės, tau ir mums dar gėdos nebūtų. Na, ryžkis! Bet, geriau pasakius, nebe metas ryžtis, reikia būti jau tik pasiryžusiam, ir tai viena vienintele linkme: ateinančią, mat, naktį visa turi būti padaryta. O jei mes dar lūkuriuosime, tai niekaip nebegalima bus susiversti. Taigi, žūt ar būt, Sokratai, tu klausyk manęs ir ne kitaip, bet taip, kaip aš sakau, daryk!

VI. SOKRATAS. Širdingas tavo rūpesnis, Kritonai tu mielasis, vertės būtų didelės, jei tik kiek pritiktų čia; jei ne, tai kuo didesnis, tuo

ὅσῳ μείζων, τοσούτῳ χαλεπωτέρα. σκοπεῖσθαι οὖν χρὴ ἡμᾶς, εἴτε ταῦτα πρακτέον εἴτε μή· ὡς ἐγὼ οὐ νῦν πρῶτον, ἀλλὰ καὶ ἀεὶ τοιοῦτος, οἷος τῶν ἐμῶν μηδενὶ ἄλλῳ πείθεσθαι ἢ τῷ λόγῳ, ὃς ἄν μοι λογιζομένῳ βέλτιστος φαίνηται. τοὺς δὲ λόγους, οὓς ἐν τῷ ἔμπροσθεν ἔλεγον, οὐ δύναμαι νῦν ἐκβαλεῖν, ἐπειδή μοι ἥδε ἡ τύχη γέγονεν, ἀλλὰ σχεδόν τι ὅμοιοι φαίνονταί μοι, καὶ τοὺς αὐτοὺς πρεσβεύω καὶ τιμῶ, οὕσπερ καὶ πρότερον· ὧν ἐὰν μὴ βελτίω ἔχωμεν λέγειν ἐν τῷ παρόντι, εὖ ἴσθι, ὅτι οὐ μή σοι συγχωρήσω, οὐδ' ἂν πλείω τῶν νῦν παρόντων ἡ τῶν πολλῶν δύναμις ὥσπερ παῖδας ἡμᾶς μορμολύττηται, δεσμοὺς καὶ θανάτους ἐπιπέμπουσα καὶ χρημάτων ἀφαιρέσεις. πῶς οὖν ἂν μετριώτατα σκοποίμεθα αὐτά; εἰ πρῶτον μὲν τοῦτον τὸν λόγον ἀναλάβοιμεν, ὃν σὺ λέγεις περὶ τῶν δοξῶν, πότερον καλῶς ἐλέγετο ἑκάστοτε ἢ οὔ, ὅτι ταῖς μὲν δεῖ τῶν δοξῶν προσέχειν τὸν νοῦν, ταῖς δὲ οὔ; ἢ πρὶν μὲν ἐμὲ δεῖν ἀποθνῄσκειν καλῶς ἐλέγετο, νῦν δὲ κατάδηλος ἄρα ἐγένετο, ὅτι ἄλλως ἕνεκα λόγου ἐλέγετο, ἦν δὲ παιδιὰ καὶ φλυαρία ὡς ἀληθῶς; ἐπιθυμῶ δ' ἔγωγ' ἐπισκέψασθαι, ὦ Κρίτων, κοινῇ μετὰ σοῦ, εἴ τί μοι ἀλλοιότερος φανεῖται, ἐπειδὴ ὧδε ἔχω, ἢ ὁ αὐτός, καὶ ἐάσομεν χαίρειν ἢ πεισόμεθα αὐτῷ. ἐλέγετο δέ πως, ὡς ἐγῷμαι, ἑκάστοτε ὧδε ὑπὸ τῶν οἰομένων τι λέγειν, ὥσπερ νυνδὴ ἐγὼ ἔλεγον, ὅτι τῶν δοξῶν, ἃς οἱ ἄνθρωποι δοξάζουσιν, δέοι τὰς μὲν περὶ πολλοῦ ποιεῖσθαι, τὰς δὲ μή. τοῦ-

ir inkyresnis. Ir dėl to mums reikia pamąstyti, ar darytina man taip, ar ne. Kai aš, tai visuomet, ne tik dabar, toksai žmogus, kad negebu klausyti jokio kito žodžio, einančio man iš vidaus, kaip tik protingojo, kurs pagalvojus pasirodo man geriausias. O nuo tųjų pažiūrų, kurias pirma aš skelbiau, negaliu dabar juk atsimesti, kai mane ištiko šita nebuitis; priešingai, tos pažiūros visai tos pačios lieka mano akyse, ir tas pačias gerbiu, kurių lenkiausi ir seniau. Jei ko geresnio mes už jas neturim šiandien pasakyti, tai būk tikras, kad nenusileisiu tau, jei minios galybė dar smarkesnėmis, negu ligšiolei, priemonėmis mus it kūdikius baidys: kalėjimu, mirtim ir turto atėmimais. Tad kaip galėtume geriausiai tirti šį dalyką? Gal paėmus pirma tas žodis, tavo taromas dėl nuomonių: ar gerai sakyta buvo progai kiekvienai ar ne, kad nuomonių vienų tai reikia, o kitų nereikia paisyti? Arba gerai gal buvo sakoma, kol mirti nereikėjo man, o nū jau aišku tapo, jog kalbos kas kita būta, — bet tik sau kalbėjus,— iš tikrųjų būta žaismo, dyko galo tik šnekos? Kai aš, tai jau labai norėčiau su tavim drauge, Kritonai, pažiūrėti, ar to žodžio svoris, man taip atsitikus, jau kitoks beesąs ar tas pats palikęs, ir dėl to sakysim, kad dievai nematy jo, arba toliau mes juo vaduosimės. Ir tie, kurie tarydavosi nusimaną ką kalbą, visados sakydavo, manding, taippat, kaip aš dabar sakiau: kad nuomonės, kurių žmonėse esti, vienos reikia vertinti labai, o kitos ne. Tai dėl dievų,

το, πρὸς θεῶν, ὦ Κρίτων, οὐ δοκεῖ καλῶς σοι λέγεσθαι; σὺ γάρ, ὅσα γε τἀνθρώπεια, ἐκτὸς εἶ τοῦ μέλλειν ἀποθνῄσκειν αὔριον, καὶ οὐκ ἄν σε παρακρούοι ἡ παροῦσα συμφορά. σκόπει δή· οὐχ ἱκανῶς δοκεῖ σοι λέγεσθαι, ὅτι οὐ πάσας χρὴ τὰς δόξας τῶν ἀνθρώπων τιμᾶν, ἀλλὰ τὰς μέν, τὰς δ' οὔ, οὐδὲ πάντων, ἀλλὰ τῶν μέν, τῶν δ' οὔ; τί φῄς; ταῦτα οὐχὶ καλῶς λέγεται;

ΚΡ. Καλῶς.

ΣΩ. Οὐκοῦν τὰς μὲν χρηστὰς τιμᾶν, τὰς δὲ πονηρὰς μή;

ΚΡ. Ναί.

ΣΩ. Χρησταὶ δὲ οὐχ αἱ τῶν φρονίμων, πονηραὶ δὲ αἱ τῶν ἀφρόνων;

ΚΡ. Πῶς δ' οὔ;

VII. ΣΩ. Φέρε δή, πῶς αὖ τὰ τοιαῦτα ἐλέγετο; γυμναζόμενος ἀνὴρ καὶ τοῦτο πράττων πότερον παντὸς ἀνδρὸς ἐπαίνῳ καὶ ψόγῳ καὶ δόξῃ τὸν νοῦν προσέχει, ἢ ἑνὸς μόνου ἐκείνου, ὃς ἂν τυγχάνῃ ἰατρὸς ἢ παιδοτρίβης ὤν;

ΚΡ. Ἑνὸς μόνου.

ΣΩ. Οὐκοῦν φοβεῖσθαι χρὴ τοὺς ψόγους καὶ ἀσπάζεσθαι τοὺς ἐπαίνους τοὺς τοῦ ἑνὸς ἐκείνου, ἀλλὰ μὴ τοὺς τῶν πολλῶν;

ΚΡ. Δῆλα δή.

ΣΩ. Ταύτῃ ἄρα αὐτῷ πρακτέον καὶ γυμναστέον καὶ ἐδεστέον γε καὶ ποτέον, ᾗ ἂν τῷ ἑνὶ δοκῇ, τῷ ἐπιστάτῃ καὶ ἐπαΐοντι, μᾶλλον ἢ ᾗ ξύμπασι τοῖς ἄλλοις.

Kritonai, ar tau nesirodo, kad gerai čia pasakyta? Žmogiškai taip menant, tau nelemta juk rytojaus dieną mirti, ir negali šita nebuitis sutrikinti tave. Tad žiūrai: argi neteisinga būtų, tavo manymu, sakyti, jog ne visos, o tik vienos nuomonės žmonių tereikia gerbti, kitos ne, ir ne visų žmonių, tik kaikurių, kitų jau ne. Ką tu manai? Ar neteisingai pasakyta?

KRITONAS. Taip, teisingai.

SOKRATAS. Vadinas, gerosios tai reikia gerbti, o netikusios — nereikia?

KRITONAS. Žinoma.

SOKRATAS. Geros tai žmonių protingų nuomonės, netikusios tai neprotingų?

KRITONAS. Jau ne kitaip.

VII. SOKRATAS. Na, gerai. O kaipgi buvo kalbama šiuo klausymu: žmogus, kurs atsidėjęs lamdo savo kūną, patūruoja bet kieno ar ano tik vieno gydytojo bei lamdymo mokytojo nuomonės gyrimų ir peikimų?

KRITONAS. Ano tik vieno.

SOKRATAS. Vadinasi, ano tik vieno, ne minios, bijoti reikia papeikimų ir džiaugtis jo tik pagyrimais.

KRITONAS. Tai aišku.

SOKRATAS. Tad reikia žmogui elgtis, lamdyti save, ir valgyti ir gerti taip, kaip rodosi geriau anam vienam, tam jo vadovui, nusimanančiam tuose dalykuose, negu kaip rodytųs visiems kitiems.

ΚΡ. Ἔστι ταῦτα.

ΣΩ. Εἶεν. ἀπειθήσας δὲ τῷ ἑνὶ καὶ ἀτιμάσας αὐτοῦ τὴν δόξαν καὶ τοὺς ἐπαίνους, τιμήσας δὲ τοὺς τῶν πολλῶν λόγους καὶ μηδὲν ἐπαϊόντων, ἆρα οὐδὲν κακὸν πείσεται;

ΚΡ. Πῶς γὰρ οὔ;

ΣΩ. Τί δ' ἔστι τὸ κακὸν τοῦτο; καὶ ποῖ τείνει, καὶ εἰς τί τῶν τοῦ ἀπειθοῦντος;

ΚΡ. Δῆλον ὅτι εἰς τὸ σῶμα· τοῦτο γὰρ διόλλυσι.

ΣΩ. Καλῶς λέγεις. οὐκοῦν καὶ τἆλλα, ὦ Κρίτων, οὕτως, ἵνα μὴ πάντα διΐωμεν, καὶ δὴ καὶ περὶ τῶν δικαίων καὶ ἀδίκων καὶ αἰσχρῶν καὶ καλῶν καὶ ἀγαθῶν καὶ κακῶν, περὶ ὧν νῦν ἡ βουλὴ ἡμῖν ἐστιν, πότερον τῇ τῶν πολλῶν δόξῃ δεῖ ἡμᾶς ἕπεσθαι καὶ φοβεῖσθαι αὐτὴν ἢ τῇ τοῦ ἑνός, εἴ τίς ἐστιν ἐπαΐων, ὃν δεῖ καὶ αἰσχύνεσθαι καὶ φοβεῖσθαι μᾶλλον ἢ σύμπαντας τοὺς ἄλλους; ᾧ εἰ μὴ ἀκολουθήσομεν, διαφθεροῦμεν ἐκεῖνο καὶ λωβησόμεθα, ὃ τῷ μὲν δικαίῳ βέλτιον ἐγίγνετο, τῷ δὲ ἀδίκῳ ἀπώλλυτο. ἢ οὐδέν ἐστι τοῦτο;

ΚΡ. Οἶμαι ἔγωγε, ὦ Σώκρατες.

VIII. ΣΩ. Φέρε δή, ἐὰν τὸ ὑπὸ τοῦ ὑγιεινοῦ μὲν βέλτιον γιγνόμενον, ὑπὸ τοῦ νοσώδους δὲ διαφθειρόμενον διολέσωμεν πειθόμενοι μὴ τῇ τῶν ἐπαϊόντων δόξῃ, ἆρα βιωτὸν ἡμῖν ἐστι διεφθαρμένου αὐτοῦ; ἔστι δέ που τοῦτο τὸ σῶμα, ἢ οὐχί;

KRITONAS. Tikra tiesa.

SOKRATAS. Gerai. Bet jeigu neklausys to vieno, jeigu niekins jojo nuomonę ir gyrimus, tai, nusilenkęs tos minios, nors nieko neišmanančios, šnekoms, ar nepritirs jau nieko pikto?

KRITONAS. Kaipgi ne!

SOKRATAS. O kas yra tas pikta? Kan, kurin daiktan pataiko tam, kuris neklauso?

KRITONAS. Matyti, kūnan; agi jį suneikia.

SOKRATAS. Gerai kalbi. Tad ir kitais, Kritonai, kartais esti taip, kad visa iš eilės nepasakojus? Juk yra ta pat ir kalbant apie teisės bei neteisės, bjaurio, grožio, gėrio, blogio dalykus, apie kuriuos dabar mes tariamės? Ar čia mums reikia sekti nuomone minių ir jos bijoti, ar to vieno tik, jei kas rastųsi nusimanąs, kurio daugiau mums dera lenktis ir bijoti, kaip visų kitų? Jei mes neseksim juo, tad sugadinsim ir sužeisim tai, kas nuo teisybės darosi geresnis, o nuo neteisybės nyksta. Na, argi ne taip?

KRITONAS. Ir man taip rodosi, Sokratai.

VIII. SOKRATAS. Na, gerai. Jei mes, klausydami nenusimanančiųjų nuomonės, sunaikintume tai, kas nuo sveikos tvarkos gerėja, o nuo liguistos genda, tad ar verta, tam kaikam sugedus, begyventi mums? Juk tai bus kūnas? Ar ne taip?

ΚΡ. Ναί.

ΣΩ. Ἆρ' οὖν βιωτὸν ἡμῖν ἐστιν μετὰ μοχθηροῦ καὶ διεφθαρμένου σώματος;

ΚΡ. Οὐδαμῶς.

ΣΩ. Ἀλλὰ μετ' ἐκείνου ἄρ' ἡμῖν βιωτὸν διεφθαρμένου, ᾧ τὸ ἄδικον μὲν λωβᾶται, τὸ δὲ δίκαιον ὀνίνησιν; ἢ φαυλότερον ἡγούμεθα εἶναι τοῦ σώματος ἐκεῖνο, ὅ τι ποτ' ἐστὶ τῶν ἡμετέρων, περὶ ὃ ἥ τε ἀδικία καὶ ἡ δικαιοσύνη ἐστίν;

ΚΡ. Οὐδαμῶς.

ΣΩ. Ἀλλὰ τιμιώτερον;

ΚΡ. Πολύ γε.

ΣΩ. Οὐκ ἄρα, ὦ βέλτιστε, πάνυ ἡμῖν οὕτω φροντιστέον, τί ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς, ἀλλ' ὅ τι ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων, ὁ εἷς, καὶ αὐτὴ ἡ ἀλήθεια. ὥστε πρῶτον μὲν ταύτῃ οὐκ ὀρθῶς εἰσηγῇ, εἰσηγούμενος τῆς τῶν πολλῶν δόξης δεῖν ἡμᾶς φροντίζειν περὶ τῶν δικαίων καὶ καλῶν καὶ ἀγαθῶν καὶ τῶν ἐναντίων. Ἀλλὰ μὲν δή, φαίη γ' ἄν τις, οἷοί τέ εἰσιν ἡμᾶς οἱ πολλοὶ ἀποκτιννύναι.

ΚΡ. Δῆλα δὴ καὶ ταῦτα, φαίη γὰρ ἄν, ὦ Σώκρατες.

ΣΩ. Ἀληθῆ λέγεις. ἀλλ', ὦ θαυμάσιε, οὗτός τε ὁ λόγος, ὃν διεληλύθαμεν, ἔμοιγε δοκεῖ ἔτι ὅμοιος εἶναι τῷ καὶ πρότερον· καὶ τόνδε αὖ σκόπει, εἰ ἔτι μένει ἡμῖν ἢ οὔ, ὅτι οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν.

ΚΡ. Ἀλλὰ μένει.

KRITONAS. Taip.

SOKRATAS. Tad ar verta mums jau begyventi su netikusiu, sugedusiu tuo kūnu?

KRITONAS. Žinoma, kad ne.

SOKRATAS. O su tuo sugedusiu, kuriam žalon išeina neteisybė, o naudon teisybė, ar beverta mums gyventi? Gal tą mūsų dalį, šiaip ar taip jau menamą, kur neteisybės ir teisybės būstas, menkesne mes laikome už kūną?

KRITONAS. Niekados!

SOKRATAS. Priešingai, prakilnesne?

KRITONAS. Ir daug prakilnesne.

SOKRATAS. Vadinas, mano tu gerasis, jau nereikia taip labai galvos sau sukti, ką minia kalbės apie mus, bet ką sakys tasai, kuris išmano, kas teisinga ir kas neteisinga, — tik jis vienas ir pati tiesa. Tad iš pradžios jau netikru keliu vedi čia, manydamas, kad minios mums nuomonė rūpėti turi, kalbant, kas teisinga ir gražu ir gera, na, ir kas tam priešinga... Beje, agi gal vienas kitas pasakys, kad ta minia gyvatą gali mums atimti.

KRITONAS. Aišku juk ir tai, Sokratai. Gal tikrai kas pasakys.

SOKRATAS. Tu sakai teisybę. Ag tas dėsnis, mūsų tik išnagrinėtas, mielasai, bent tavo nuomone, tebėr tolygios galios dar, kaip ir pirma. Ir šitą dėsnį vėl žiūrėk, ar tebegalsta mums ar ne: kad ne gyvenimas iš viso, bet gyvenimas tik geras reikia vertinti augščiausiai.

KRITONAS. Žinoma, jis tebegalsta.

ΣΩ. Τὸ δὲ εὖ καὶ καλῶς καὶ δικαίως ὅτι ταὐτόν ἐστιν, μένει ἢ οὐ μένει;

ΚΡ. Μένει.

IX. ΣΩ. Οὐκοῦν ἐκ τῶν ὁμολογουμένων τοῦτο σκεπτέον, πότερον δίκαιον ἐμὲ ἐνθένδε πειρᾶσθαι ἐξιέναι μὴ ἀφιέντων Ἀθηναίων, ἢ οὐ δίκαιον· καὶ ἐὰν μὲν φαίνηται δίκαιον, πειρώμεθα, εἰ δὲ μή, ἐῶμεν. ἃς δὲ σὺ λέγεις τὰς σκέψεις περί τε ἀναλώσεως χρημάτων καὶ δόξης καὶ παίδων τροφῆς, μὴ ὡς ἀληθῶς ταῦτα, ὦ Κρίτων, σκέμματα ᾖ τῶν ῥᾳδίως ἀποκτιννύντων καὶ ἀναβιωσκομένων γ' ἄν, εἰ οἷοί τ' ἦσαν, οὐδενὶ ξὺν νῷ, τούτων τῶν πολλῶν. ἡμῖν δ', ἐπειδὴ ὁ λόγος οὕτως αἱρεῖ, μὴ οὐδὲν ἄλλο σκεπτέον ᾖ ἤ, ὅπερ νυνδὴ ἐλέγομεν, πότερον δίκαια πράξομεν καὶ χρήματα τελοῦντες τούτοις τοῖς ἐμὲ ἐνθένδε ἐξάξουσιν καὶ χάριτας, καὶ αὐτοὶ ἐξάγοντές τε καὶ ἐξαγόμενοι, ἢ τῇ ἀληθείᾳ ἀδικήσομεν πάντα ταῦτα ποιοῦντες· κἂν φαινώμεθα ἄδικα αὐτὰ ἐργαζόμενοι, μὴ οὐ δέῃ ὑπολογίζεσθαι, οὔτ' εἰ ἀποθνῄσκειν δεῖ παραμένοντας καὶ ἡσυχίαν ἄγοντας, οὔτε ἄλλο ὁτιοῦν πάσχειν πρὸ τοῦ ἀδικεῖν.

ΚΡ. Καλῶς μέν μοι δοκεῖς λέγειν, ὦ Σώκρατες· ὅρα δέ, τί δρῶμεν.

ΣΩ. Σκοπῶμεν, ὦ ἀγαθέ, κοινῇ, καὶ εἴ πῃ ἔχεις ἀντιλέγειν ἐμοῦ λέγοντος, ἀντίλεγε, καί σοι

SOKRATAS. O tas dėsnis, jogei gėris, grožis ir teisybė yra ta pat, palikti turi ar neturi?

KRITONAS. Turi.

IX. SOKRATAS. Vadinasi, iš to, su kuo sutinkame, žiūrėti reikia, ar teisinga man mėginti iš čionai išeiti, nors neleidžia atėniečiai, ar jau neteisinga; ir jei rodytųsi teisinga, tai mėginkime, jei ne, tai liaukimės. O tau, ką tu sakai, tos pastabos dėl išlaidžio, apžodo, dėl vaikų išauklėjimo, iš tikrųjų kad nebūtų tik, Kritonai, tų žmonių protavimas, kurie mirtim lengvokai smerkia ir kurie vėl paskum begaivintų mirusius, jei tik valiotų; tai nenuovokų, minios protavimas. Bet mums, kadangi sveikas protas rodo šitaip, reikia nieko kita nežiūrėti, kaip vien to, ką tik dabar kalbėjom: ar teisingai elgsimės, jei duosim pinigų ir dėkui dar sakysim tiems, kurie apsiima iš čia mane išvesti, ir jei patys mes vieni vaduosim, o kiti vaduotis leisimės, ar gal tikrai mes teisei nusižengsim, visa tat darydami. Ir jeigu pasirodytų, kad taip darydami nusidedam, tai nebereikėtų, nuodėmės akivaizdoje, paisyti, ar teks jau mirti, palikus čia ramiai beglūdint, ar kentėti bet kuri kita kančia.

KRITONAS. Man regis, tu gerai sakai, Sokratai. Bet žiūrėk, kas mums daryti.

SOKRATAS. Žiūraime, tu mano gerasai, kartu, ir jei man kalbant turi kur priešais pasakyti ką, tad sakai, paklausysiu aš tavęs; jei neturi, tad

πείσομαι· εἰ δὲ μή, παῦσαι ἤδη, ὦ μακάριε, πολλάκις μοι λέγων τὸν αὐτὸν λόγον, ὡς χρὴ ἐνθένδε ἀκόντων Ἀθηναίων ἐμὲ ἀπιέναι· ὡς ἐγὼ περὶ πολλοῦ ποιοῦμαι πείσας σε ταῦτα πράττειν, ἀλλὰ μὴ ἄκοντος. ὅρα δὲ δὴ τῆς σκέψεως τὴν ἀρχήν, ἐάν σοι ἱκανῶς λέγηται, καὶ πειρῶ ἀποκρίνεσθαι τὸ ἐρωτώμενον, ᾗ ἂν μάλιστα οἴῃ.

ΚΡ. Ἀλλὰ πειράσομαι.

X. ΣΩ. Οὐδενὶ τρόπῳ φαμὲν ἑκόντας ἀδικητέον εἶναι, ἢ τινι μὲν ἀδικητέον τρόπῳ, τινι δὲ οὔ; ἢ οὐδαμῶς τό γε ἀδικεῖν οὔτε ἀγαθὸν οὔτε καλόν, ὡς πολλάκις ἡμῖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ ὡμολογήθη; ὅπερ καὶ ἄρτι ἐλέγετο· ἢ πᾶσαι ἡμῖν ἐκεῖναι αἱ πρόσθεν ὁμολογίαι ἐν ταῖσδε ταῖς ὀλίγαις ἡμέραις ἐκκεχυμέναι εἰσίν, καὶ πάλαι, ὦ Κρίτων, ἄρα τηλικοίδε γέροντες ἄνδρες πρὸς ἀλλήλους σπουδῇ διαλεγόμενοι ἐλάθομεν ἡμᾶς αὐτοὺς παίδων οὐδὲν διαφέροντες; ἢ παντὸς μᾶλλον οὕτως ἔχει, ὥσπερ τότε ἐλέγετο ἡμῖν, εἴτε φασὶν οἱ πολλοὶ εἴτε μή, καὶ εἴτε δεῖ ἡμᾶς ἔτι τῶνδε χαλεπώτερα πάσχειν εἴτε καὶ πρᾳότερα, ὅμως τό γε ἀδικεῖν τῷ ἀδικοῦντι καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει ὂν παντὶ τρόπῳ; φαμὲν ἢ οὔ;

ΚΡ. Φαμέν.

ΣΩ. Οὐδαμῶς ἄρα δεῖ ἀδικεῖν;

ΚΡ. Οὐ δῆτα.

liaukis nuolatai kalbėjęs man ta pat, kad reikia man iš čia išeit, nors tai atėniečių valiai priešinga. Juk man labai svarbu, tave intikinus, o ne prieš tavo valią, ryžtis šioje byloje. Tad ypačiai tyrimo pradžią insimink, ar ji pakankamai inrodyta, ir pamėgink atsakyti mano klausimuosin, kaip manysi, kad geriausia.

KRITONAS. Tad jau pamėginsiu.

X. SOKRATAS. Ar kad jokia proga, manom, nedera mums savo noru neteisingai elgtis, ar kad vienu žygiu galime neteisūs būti, o kitu jau ne? ar kad neteisingai elgtis visuomet yra ir negerai ir negražu, kaip ne sykį ir pirma su tuo sutikdavom abu? Juk tik dabar kalbėta buvo apie tai. Argi tos visos mintys, pirmai mūsų sutiktos, per tas kelias dienas jau būtų išgaravusios? Ir taip ilgai, Kritonai, mes, tokie jau seniai vyrai būdami, nejutome, kad mūsų, pažiūrėti, rimtai vieno su kitu kalbėjusių, ničnieku betgi nuo vaikų nesiskirta? Rasit, šiaip ar taip jau vertus, lieka taip, kaip mes tada kalbėjome: ar pritaria tam minios ar nepritaria, sunkesnės ar lengvesnės nebuities, kaip šita, mums pritirti tektų, — neteisingas elgesys vistiek piktan išeina ir pridaro gėdos tam, kurs neteisingai elgiasi? Sutinkame su tuo ar ne?

KRITONAS. Sutinkame.

SOKRATAS. Taigi, niekuomet nereikia neteisingai elgtis.

KRITONAS. Žinoma, kad ne.

ΣΩ. Οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται, ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν.

ΚΡ. Οὐ φαίνεται.

ΣΩ. Τί δὲ δή; κακουργεῖν δεῖ, ὦ Κρίτων, ἢ οὔ;

ΚΡ. Οὐ δεῖ δήπου, ὦ Σώκρατες.

ΣΩ. Τί δέ; ἀντικακουργεῖν κακῶς πάσχοντα, ὡς οἱ πολλοί φασιν, δίκαιον ἢ οὐ δίκαιον;

ΚΡ. Οὐδαμῶς.

ΣΩ. Τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους τοῦ ἀδικεῖν οὐδὲν διαφέρει.

ΚΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Οὔτε ἄρα ἀνταδικεῖν δεῖ οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων, οὐδ' ἂν ὁτιοῦν πάσχῃ ὑπ' αὐτῶν. καὶ ὅρα, ὦ Κρίτων, ταῦτα καθομολογῶν, ὅπως μὴ παρὰ δόξαν ὁμολογῇς. οἶδα γάρ, ὅτι ὀλίγοις τισὶ ταῦτα καὶ δοκεῖ καὶ δόξει. οἷς οὖν οὕτω δέδοκται καὶ οἷς μή, τούτοις οὐκ ἔστι κοινὴ βουλή, ἀλλ' ἀνάγκη τούτους ἀλλήλων καταφρονεῖν, ὁρῶντας ἀλλήλων τὰ βουλεύματα. σκόπει δὴ οὖν καὶ σὺ εὖ μάλα, πότερον κοινωνεῖς καὶ συνδοκεῖ σοι καὶ ἀρχώμεθα ἐντεῦθεν βουλευόμενοι, ὡς οὐδέποτε ὀρθῶς ἔχοντος οὔτε τοῦ ἀδικεῖν οὔτε τοῦ ἀνταδικεῖν οὔτε κακῶς πάσχοντα ἀμύνεσθαι ἀντιδρῶντα κακῶς, ἢ ἀφίστασαι καὶ οὐ κοινωνεῖς τῆς ἀρχῆς; ἐμοὶ μὲν γὰρ καὶ πάλαι οὕτω

SOKRATAS. Vadinasi, nei tas, kam neteisybė daroma, atsimokėti neteisybe, kaip minia galvoja, neprivalo, nes iš viso nevalia juk elgtis neteisingai.

KRITONAS. Aišku: nevalia.

SOKRATAS. O kaipgi čia, Kritonai? . . . Pikta kam daryti ar valia ar ne?

KRITONAS. Žinoma, kad nevalia, Sokratai.

SOKRATAS. Kaipgi?.. Jei kas, pikta daromas, piktu ir atsilygina, ar tat yra teisinga, kaip minia kad sako, ar jau neteisinga?

KRITONAS. Visiškai jau neteisinga.

SOKRATAS. Nes žmonėms daryti pikta yra juk ta pat, kaip neteisingai elgtis.

KRITONAS. Tu sakai teisybę.

SOKRATAS. Vadinasi, nereikia nei piktuoju atsiteisti, nei piktai daryti nei vienam žmogui, jei dargi tektų kažinko iš jų kentėti. Ir žiūrėk, Kritonai, kad, sutikdamas su tuo, prieš savo nuomonę tu nesutiktum, nes žinau, jog tik nedaugelis taip mano ir manys. Kai vienas mąsto taip, o kitas ne, tai santarvės tarp jų bendros nėra; tad jie, priešingai, nebeišvengiamai kits kitą niekina, matydami, katrie kaip ryžtasi. Tad pagalvok ir tu labai gerai, ar su manim dedies, ar sutinki su mano pažiūra ir ar pradėti tartis mums nuo to, jog niekad nedera nei neteisingai elgtis, nei už neteisybę neteisybe atsilyginti, nei pikta daromam piktu atsimokėti darbu. O gal atsitrauki nuo manęs ir nebepritari tam pagrindiniam dėsniui? Man tai

καὶ νῦν ἔτι δοκεῖ, σοὶ δὲ εἴ πῃ ἄλλῃ δέδοκται, λέγε καὶ δίδασκε. εἰ δ' ἐμμένεις τοῖς πρόσθε, τὸ μετὰ τοῦτο ἄκουε.

ΚΡ. Ἀλλ' ἐμμένω τε καὶ συνδοκεῖ μοι· ἀλλὰ λέγε.

ΣΩ. Λέγω δὴ αὖ τὸ μετὰ τοῦτο, μᾶλλον δ' ἐρωτῶ πότερον, ἃ ἄν τις ὁμολογήσῃ τῳ δίκαια ὄντα, ποιητέον ἢ ἐξαπατητέον;

ΚΡ. Ποιητέον.

XI. ΣΩ. Ἐκ τούτων δὴ ἄθρει. ἀπιόντες ἐνθένδε ἡμεῖς μὴ πείσαντες τὴν πόλιν πότερον κακῶς τινας ποιοῦμεν, καὶ ταῦτα οὓς ἥκιστα δεῖ, ἢ οὔ; καὶ ἐμμένομεν οἷς ὡμολογήσαμεν δικαίοις οὖσιν ἢ οὔ;

ΚΡ. Οὐκ ἔχω, ὦ Σώκρατες, ἀποκρίνασθαι πρὸς ὃ ἐρωτᾷς· οὐ γὰρ ἐννοῶ.

ΣΩ. Ἀλλ' ὧδε σκόπει. εἰ μέλλουσιν ἡμῖν ἐνθένδε εἴτε ἀποδιδράσκειν, εἴθ' ὅπως δεῖ ὀνομάσαι τοῦτο, ἐλθόντες οἱ νόμοι καὶ τὸ κοινὸν τῆς πόλεως ἐπιστάντες ἔροιντο· εἰπέ μοι, ὦ Σώκρατες, τί ἐν νῷ ἔχεις ποιεῖν; ἄλλο τι ἢ τούτῳ τῷ ἔργῳ, ᾧ ἐπιχειρεῖς, διανοῇ τούς τε νόμους ἡμᾶς ἀπολέσαι καὶ σύμπασαν τὴν πόλιν τὸ σὸν μέρος; ἢ δοκεῖ σοι οἷόν τε ἔτι ἐκείνην τὴν πόλιν εἶναι καὶ μὴ ἀνατετράφθαι, ἐν ᾗ ἂν αἱ γενόμεναι δίκαι μηδὲν ἰσχύωσιν, ἀλλὰ ὑπὸ ἰδιωτῶν ἄκυροί τε γίγνωνται καὶ διαφθείρωνται; τί ἐροῦμεν,

ir pirma taip rodės ir dabar tebesirodo. O jei tau kitaip kaip rodos, tai sakyk ir aiškink. Jei tačiau senosios nuomonės vis tebesilaikai, tai paklausyk toliau.

KRITONAS. Žinoma, kad tebesilaikau, ir man, kaip tau, tebesirodo. Na, kalbėk toliau.

SOKRATAS. Tai jau kalbėsiu ir toliau, arba geriau, aš klausiu. Jeigu kas sutaręs esti ką teisinga su kitu, tad jam kaip sutarta daryti reikia ar valia apgauti?

KRITONAS. Daryti reikia.

XI. SOKRATAS. Tai dabar dėmėkis tik. Išeidami iš čia, nesusitaikinę su savo šalimi, ar mes kam pikta darome, ir tai dar tam, kuris mažiausia nusipelno, ar gal ne? Ir ar tebesilaikom sandoros, teisingos mūsų sutiktos, ar ne?

KRITONAS. Nesugebu, Sokratai, atsakyti tavo klausiman. Mat, jo nepermanau.

SOKRATAS. Na, tai žiūrai šiaip. Jei besirengiant mums iš čia pabėgti, — ar kitaip kaip šitoks žingsnis pavadinus mums, — instatymai ir tos šalies bendruomenė ateitų ir, pastoję kelią, klaustų: „Pasakyk, Sokratai, ką tu čia insimanai daryti? Ar tik tu neketini tuo savo žygiù, kurio imies, sunaikinti mus, instatymus, ir visą šalį, kiek tatai pareina iš tavęs? Ar tu manai, kad gali sveikas dar išlikti ir išvengti pražūmam ar kalimam, jei siunčia ir karan, kur tektų turi jokios galios, priešingai, jie bet kieno padaromi be vertės, niekais laikomi?“ Tai ką sa-

ὦ Κρίτων, πρὸς ταῦτα καὶ ἄλλα τοιαῦτα; πολλὰ γὰρ ἄν τις ἔχοι, ἄλλως τε καὶ ῥήτωρ, εἰπεῖν ὑπὲρ τούτου τοῦ νόμου ἀπολλυμένου, ὃς τὰς δίκας τὰς δικασθείσας προστάττει κυρίας εἶναι. ἢ ἐροῦμεν πρὸς αὐτούς, ὅτι ἠδίκει γὰρ ἡμᾶς ἡ πόλις καὶ οὐκ ὀρθῶς τὴν δίκην ἔκρινεν; ταῦτα ἢ τί ἐροῦμεν;

ΚΡ. Ταῦτα νὴ Δία, ὦ Σώκρατες.

XII. ΣΩ. Τί οὖν, ἂν εἴπωσιν οἱ νόμοι· ὦ Σώκρατες, ἦ καὶ ταῦτα ὡμολόγητο ἡμῖν τε καὶ σοί, ἢ ἐμμένειν ταῖς δίκαις αἷς ἂν ἡ πόλις δικάζῃ; εἰ οὖν αὐτῶν θαυμάζοιμεν λεγόντων, ἴσως ἂν εἴποιεν, ὅτι ὦ Σώκρατες, μὴ θαύμαζε τὰ λεγόμενα, ἀλλ' ἀποκρίνου, ἐπειδὴ καὶ εἴωθας χρῆσθαι τῷ ἐρωτᾶν τε καὶ ἀποκρίνεσθαι. φέρε γάρ, τί ἐγκαλῶν ἡμῖν καὶ τῇ πόλει ἐπιχειρεῖς ἡμᾶς ἀπολλύναι; οὐ πρῶτον μέν σε ἐγεννήσαμεν ἡμεῖς, καὶ δι' ἡμῶν ἔλαβε τὴν μητέρα σου ὁ πατὴρ καὶ ἐφύτευσέν σε; φράσον οὖν, τούτοις ἡμῶν, τοῖς νόμοις τοῖς περὶ τοὺς γάμους, μέμφῃ τι, ὡς οὐ καλῶς ἔχουσιν; οὐ μέμφομαι, φαίην ἄν. ἀλλὰ τοῖς περὶ τὴν τοῦ γενομένου τροφήν τε καὶ παιδείαν, ἐν ᾗ καὶ σὺ ἐπαιδεύθης; ἢ οὐ καλῶς προσέταττον ἡμῶν οἱ ἐπὶ τούτῳ τεταγμένοι νόμοι, παραγγέλλοντες τῷ πατρὶ τῷ σῷ σε ἐν μουσικῇ καὶ γυμναστικῇ παιδεύειν; καλῶς, φαίην ἄν. εἶεν. ἐπειδὴ δὲ ἐγένου τε

kysime, Kritonai, tan ir, na, kitan tolygun klausyman? Ag ne vienas, ypatingai koks kalbovas, daug galėtų pasakyti dėl nieku paverčiamo insstatymo, kurs liepia, kad insiteisėjusi spręsmė turėtų galios. Rasit taip jiems pasakysim: „Mūsų kraštas netaurai, mat, elgės su mumis ir neteisingai sprendė mūsų bylą?“ Taip ar ką mes atsakysim?

KRITONAS. Žinoma, Sokratai, taip.

XII. SOKRATAS. O kas tada, jeigu instatymai sakytų: „Ar tikrai, Sokratai, buvo mūsų su tavim taip sutarta, ar šiaip veikiau, kad tu laikysies alvienos spręsmės, kurią tik mūsų krašto teismas tars?“ Ir jei tada stebėtumės ta jų kalba, tai gal sakytų šiaip: „Sokratai, tu nesistebėk tais žodžiais, o atsakinėk, nes ir tu pats esi kalbėdamas inpratęs klausinėti bei atsakinėti. Na, tad sakai, ką prikišti mums ir savo šaliai tu gali, kad mus besirengi paversti niekais? Ar ne mes pirmiausia davėm tau gyvatą, ar ne mūsų gi dėka tau tėvas vedė motiną, tave pasigamino? Pasakyk, ar mūsų tie instatymai, kurie vedybas tvarko, tau kuo peiktini? kad jie netikę? — „Man jie nėra peiktini“, sakyčiau. „Na, o tie, kur saugo kūdikio maitinimą ir auklėjimą? Ag ir tu buvai išauklėtas. Ar negerai, kad mūsų tie instatymai, tam reikalui skirti, insakė tavo tėvui, dėdami jam pareigą, kad lavintų tave gimnastikoj ir muzikoj? — „Žinoma, gerai“, — sakyčiau. „Ir toliau. Kadangi taip esi

καὶ ἐξετράφης καὶ ἐπαιδεύθης, ἔχοις ἂν εἰπεῖν, πρῶτον μὲν ὡς οὐχὶ ἡμέτερος ἦσθα καὶ ἔκγονος καὶ δοῦλος αὐτός τε καὶ οἱ σοὶ πρόγονοι; καὶ εἰ τοῦθ' οὕτως ἔχει, ἆρ' ἐξ ἴσου οἴει εἶναι σοὶ τὸ δίκαιον καὶ ἡμῖν, καὶ ἅττ' ἂν ἡμεῖς σε ἐπιχειρῶμεν ποιεῖν, καὶ σοὶ ταῦτα ἀντιποιεῖν οἴει δίκαιον εἶναι; ἢ πρὸς μὲν ἄρα σοι τὸν πατέρα οὐκ ἐξ ἴσου ἦν τὸ δίκαιον καὶ πρὸς δεσπότην, εἴ σοι ὢν ἐτύγχανεν, ὥστε, ἅπερ πάσχοις, ταῦτα καὶ ἀντιποιεῖν, οὔτε κακῶς ἀκούοντα ἀντιλέγειν οὔτε τυπτόμενον ἀντιτύπτειν οὔτε ἄλλα τοιαῦτα πολλά· πρὸς δὲ τὴν πατρίδα ἄρα καὶ τοὺς νόμους ἐξέσται σοι, ὥστε, ἐάν σε ἐπιχειρῶμεν ἡμεῖς ἀπολλύναι δίκαιον ἡγούμενοι εἶναι, καὶ σὺ δὲ ἡμᾶς τοὺς νόμους καὶ τὴν πατρίδα, καθ' ὅσον δύνασαι, ἐπιχειρήσεις ἀνταπολλύναι, καὶ φήσεις ταῦτα ποιῶν δίκαια πράττειν, ὁ τῇ ἀληθείᾳ τῆς ἀρετῆς ἐπιμελόμενος; ἢ οὕτως εἶ σοφός, ὥστε λέληθέν σε, ὅτι μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερόν ἐστιν ἡ πατρὶς καὶ σεμνότερον καὶ ἁγιώτερον καὶ ἐν μείζονι μοίρᾳ καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις τοῖς νοῦν ἔχουσι, καὶ σέβεσθαι δεῖ καὶ μᾶλλον ὑπείκειν καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν ἢ πατέρα, καὶ ἢ πείθειν ἢ ποιεῖν, ἃ ἂν κελεύῃ, καὶ πάσχειν, ἐάν τι προστάττῃ παθεῖν, ἡσυχίαν ἄγοντα, ἐάν τε τύπτεσθαι ἐάν τε δεῖσθαι, ἐάν τε εἰς πόλεμον ἄγῃ τρωθησόμενον ἢ ἀποθανούμενον, ποιητέον ταῦτα, καὶ τὸ δίκαιον οὕτως ἔχει, καὶ οὐχὶ ὑπεικτέον

tu gimęs, taip išauklėtas, išprusintas, tad ar galėtum pasakyti, pirmučiausia, jog ne mūsų padaras buvai, ne mūsų vergas tu patsai ir tavo protėviai? Ir jeigu taip, tai ar manai, kad mes ir tu prieš teisę lygūs esame? Ir kad, jei mes ketinam tau daryti ką, tai, tavo nuomone, valia ir tau daryti lygiomis ta pat ir mums? Arba: su tėvu ir su vyresniuoju, jei tau jis tekdavo turėti, lygios teisės tau nebuvo, taip kad būtumei, ką daromas, galėjęs atsilyginti tuo pat: juk nevalia tau buvo, piktą žodį girdint, jiems piktai ir atsikirsti, mušamam smūgiu atsimokėti, nei daugelio tokių dalykų atsiteisti lygiomis. O su tėvyne, su instatymais tau būtų leista lygintis! Jei mes panorstame mirtim sunaikinti tave, manydami, jog taip teisybė reikalauja, tai ir tu mėginsi, kiek galėsi, atsiteisdamas sunaikinti ir mus, instatymus, ir tėviškę, ir dar sakysies, taip darydamas, teisingai elgiąsis, — tai tu, kuriam dorybė rūpi iš tiesų?! Tai išmintingas taip esi, jog dargi nežinai, kad tėviškė yra brangesnė ir už motiną su tėvu, už alvieną kitą protėvį, kad ir jos labiau, kaip šventesnės, lenkiamasi, kad dievai ir protingieji žmonės ją daugiau ir gerbia? Kad tėvynės, nors rūstaujančios, daugiau, kaip tėvo, reikia lenktis, nusileisti jai, meilus žodelis tarti, ir arba ji tikinti arba daryti visa, ką insako, ir ramiai laikytis, jei paliepia ką kentėti — būti mušamam ar kalimam, jei siunčia ir karan, kur tektų būti sužeistam ir gautum galą? Visa tat yra darytina, nes teisė reikalauja taip: juk nevalia tau

οὐδὲ ἀναχωρητέον οὐδὲ λειπτέον τὴν τάξιν, ἀλλὰ καὶ ἐν πολέμῳ καὶ ἐν δικαστηρίῳ καὶ πανταχοῦ ποιητέον, ἃ ἂν κελεύῃ ἡ πόλις καὶ ἡ πατρίς, ἢ πείθειν αὐτήν, ᾗ τὸ δίκαιον πέφυκε· βιάζεσθαι δὲ οὐχ ὅσιον οὔτε μητέρα οὔτε πατέρα, πολὺ δὲ τούτων ἔτι ἧττον τὴν πατρίδα; — τί φήσομεν πρὸς ταῦτα, ὦ Κρίτων; ἀληθῆ λέγειν τοὺς νόμους ἢ οὔ;

ΚΡ. Ἔμοιγε δοκεῖ.

XIII. ΣΩ. Σκόπει τοίνυν, ὦ Σώκρατες, φαῖεν ἂν ἴσως οἱ νόμοι, εἰ ἡμεῖς ταῦτα ἀληθῆ λέγομεν, ὅτι οὐ δίκαια ἡμᾶς ἐπιχειρεῖς δρᾶν ἃ νῦν ἐπιχειρεῖς. ἡμεῖς γάρ σε γεννήσαντες, ἐκθρέψαντες, παιδεύσαντες, μεταδόντες ἁπάντων ὧν οἷοί τ' ἦμεν καλῶν σοὶ καὶ τοῖς ἄλλοις πᾶσιν πολίταις, ὅμως προαγορεύομεν τῷ ἐξουσίαν πεποιηκέναι Ἀθηναίων τῷ βουλομένῳ, ἐπειδὰν δοκιμασθῇ καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα καὶ ἡμᾶς τοὺς νόμους, ᾧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς, ἐξεῖναι λαβόντα τὰ αὑτοῦ ἀπιέναι, ὅποι ἂν βούληται. καὶ οὐδεὶς ἡμῶν τῶν νόμων ἐμποδών ἐστιν οὐδ' ἀπαγορεύει, ἐάν τέ τις βούληται ὑμῶν εἰς ἀποικίαν ἰέναι, εἰ μὴ ἀρέσκοιμεν ἡμεῖς τε καὶ ἡ πόλις, ἐάν τε μετοικεῖν ἄλλοσέ ποι ἐλθών, ἰέναι ἐκεῖσε, ὅποι ἂν βούληται, ἔχοντα τὰ αὑτοῦ. ὃς δ' ἂν ὑμῶν παραμείνῃ, ὁρῶν, ὃν τρόπον ἡμεῖς τάς τε δίκας δικάζομεν καὶ τἆλλα τὴν πόλιν διοικοῦμεν, ἤδη φαμὲν τοῦτον ὡμολογηκέναι ἔργῳ ἡμῖν, ἃ ἂν ἡμεῖς κελεύωμεν, ποιήσειν ταῦτα,

pasitraukti, nei pabėgti, nei pamesti savo vietos, priešingai, kare, teisme ir šiaip visur darytina ką liepia valstybė ir tėvynė, na, arba intikinti ji taip, kaip teisė rodo paprastai. O smurtu priešintis nepridera nei motinai, nei tėvui, dar mažiau, kaip jiems, tėvynei". Ką tan žodin mes, Kritonai, pasakysime? Kad instatymų teisybė sakoma ar ne?

KRITONAS. Kai man, tai, rodos, jų tiesa.

XIII. SOKRATAS. „Žiūrai vėl Sokratai", — gal instatymai toliau kalbėtų, — „ar mes tiesą sakom, jog dabar tu sumanytu žygiu nori pasielgti neteisingai su mumis? Ir iš tiesų: tave pagimdę, išmaitinę ir išauklėję, naudotis leidę tau ir šiaip visiems kitiems piliečiams visomis gėrybėmis, kurių galėjome pateikti, visdėlto paskelbiame, jog leista atėniečiui kiekvienam, kuris tik insimanytų, gavus pilietybės teisę ir pažinus mūsų krašto viešąjį gyvenimą ir mus, instatymus, — valia jam, jeigu nepatiktume, keliauti, savo mantą pasiėmus, ten, kur tik panori. Taip, nei vienas mes, instatymai, nekliudome ir negresiame tam, kas jūsų veržiasi naujakūrėn išeiti, jei nemiela mes ir mūsų kraštas, kas išėjęs kur kitur insigyventi nori; pasiėmęs savo lobį, teeinie tenai, kur tinkamas! O kas tik jūsų lieka čia, matydamas, kuriuo būdu mes sprendžiame teisme bylas ir tvarkome iš viso šalį, tą jau sakome tikrai pasižadėjus mums daryti visa, ką tik mes paliepiame.

καὶ τὸν μὴ πειθόμενον τριχῇ φαμεν ἀδικεῖν, ὅτι τε γεννηταῖς οὖσιν ἡμῖν οὐ πείθεται, καὶ ὅτι τροφεῦσι, καὶ ὅτι ὁμολογήσας ἡμῖν πείσεσθαι οὔτε πείθεται οὔτε πείθει ἡμᾶς, εἰ μὴ καλῶς τι ποιοῦμεν, προτιθέντων ἡμῶν καὶ οὐκ ἀγρίως ἐπιταττόντων ποιεῖν, ἃ ἂν κελεύωμεν, ἀλλὰ ἐφιέντων δυοῖν θάτερα, ἢ πείθειν ἡμᾶς ἢ ποιεῖν, τούτων οὐδέτερα ποιεῖ.

XIV. Ταύταις δή φαμεν καὶ σέ, ὦ Σώκρατες, ταῖς αἰτίαις ἐνέξεσθαι, εἴπερ ποιήσεις, ἃ ἐπινοεῖς, καὶ οὐχ ἥκιστα Ἀθηναίων σέ, ἀλλ' ἐν τοῖς μάλιστα. εἰ οὖν ἐγὼ εἴποιμι· διὰ τί δή; ἴσως ἄν μου δικαίως καθάπτοιντο λέγοντες, ὅτι ἐν τοῖς μάλιστα Ἀθηναίων ἐγὼ αὐτοῖς ὡμολογηκὼς τυγχάνω ταύτην τὴν ὁμολογίαν. φαῖεν γὰρ ἄν, ὅτι, ὦ Σώκρατες, μεγάλα ἡμῖν τούτων τεκμήριά ἐστιν, ὅτι σοι καὶ ἡμεῖς ἠρέσκομεν καὶ ἡ πόλις· οὐ γὰρ ἄν ποτε τῶν ἄλλων Ἀθηναίων ἁπάντων διαφερόντως ἐν αὐτῇ ἐπεδήμεις, εἰ μή σοι διαφερόντως ἤρεσκεν, καὶ οὔτ' ἐπὶ θεωρίαν πώποτ' ἐκ τῆς πόλεως ἐξῆλθες, ὅτι μὴ ἅπαξ εἰς Ἰσθμόν, οὔτε ἄλλοσε οὐδαμόσε, εἰ μή ποι στρατευσόμενος, οὔτε ἄλλην ἀποδημίαν ἐποιήσω πώποτε ὥσπερ οἱ ἄλλοι ἄνθρωποι, οὐδ' ἐπιθυμία σε ἄλλης πόλεως οὐδὲ ἄλλων νόμων ἔλαβεν εἰδέναι, ἀλλὰ ἡμεῖς σοι ἱκανοὶ ἦμεν καὶ ἡ ἡμετέρα πόλις· οὕτω σφόδρα ἡμᾶς ᾑροῦ καὶ ὡμολόγεις καθ' ἡμᾶς πολιτεύσεσθαι, τά τε ἄλλα καὶ παῖδας ἐν αὐτῇ ἐποιήσω, ὡς ἀρεσκούσης σοι τῆς

Ir tas, kuris neklauso, sakome, trejopai elgiasi neteisiai: kad mums gimdytojams, kad mums ir auklėtojams priešginiauja, kad, sutikęs būti paklusnus, ir nepaklauso mūsų ir geran jau nepalenkia, jeigu netaurai ką darome. Nors mes tiktai pateikiame ir žiauriai reikalauti mes nereikalaujame daryti, ką insakome, bet leidžiame iš dveja viena pasirinkti: arba mus intikinti arba ryžtis; jis tačiau nedaro nei katraip.

XIV. Tos kliaudės, sakome, Sokratai, bus ir tau juk metamos, jei padarysi, ką insimanai, ir tai dar ne mažiausia tau iš atėniečių, bet daugiausia tarpe jų".

Ir jei tada paklausčiau — „Kodėl taip" — tai gal teisingai jie prikibtų in mane, sakydami, jog atėniečių tarpe aš esąs labiausiai jiems ta sutartim pasižadėjęs. Mat, sakytų man: „Sokratai, turim didelių inrodymų, jog tau mes tikome ir mūsų kraštas. Ag nebūtum, kaip nei vienas kitas atėnietis, taip išbuvęs vis jame, jei nebūtų ypačiai patikęs tau. Ir jokion iškilmingon žaismo šventėn nebuvai nei sykio išsiryžęs iš savo šalies, negu tik vieną kartą Istman, nei kitur svetur, negu tik karo žygiu, nei kitos kelionės neesi kada turėjęs, kaip kiti kad esti, neėmė tavęs ir noras svetimas šalis ir svetimus instatymus pažinti, priešingai, užteko mūsų tau ir mūsų krašto: taip jau griežtai mums nusilenkei, tikai, kaipo pilietis, mūsų daroma tvarka gyventi ir, be to, dar pasigaminai vaikų šia-

πόλεως. ἔτι τοίνυν ἐν αὐτῇ τῇ δίκῃ ἐξῆν σοι φυγῆς τιμήσασθαι, εἰ ἐβούλου, καὶ ὅπερ νῦν ἀκούσης τῆς πόλεως ἐπιχειρεῖς, τότε ἑκούσης ποιῆσαι. σὺ δὲ τότε μὲν ἐκαλλωπίζου ὡς οὐκ ἀγανακτῶν εἰ δέοι τεθνάναι σε, ἀλλὰ ᾑροῦ, ὡς ἔφησθα, πρὸ τῆς φυγῆς θάνατον· νῦν δὲ οὔτ' ἐκείνους τοὺς λόγους αἰσχύνῃ οὔτε ἡμῶν τῶν νόμων ἐντρέπῃ, ἐπιχειρῶν διαφθεῖραι, πράττεις τε, ἅπερ ἂν δοῦλος φαυλότατος πράξειεν, ἀποδιδράσκειν ἐπιχειρῶν παρὰ τὰς συνθήκας τε καὶ τὰς ὁμολογίας, καθ' ἃς ἡμῖν συνέθου πολιτεύεσθαι. πρῶτον μὲν οὖν ἡμῖν τοῦτ' αὐτὸ ἀπόκριναι, εἰ ἀληθῆ λέγομεν φάσκοντές σε ὡμολογηκέναι πολιτεύσεσθαι καθ' ἡμᾶς ἔργῳ, ἀλλ' οὐ λόγῳ, ἢ οὐκ ἀληθῆ. τί φῶμεν πρὸς ταῦτα, ὦ Κρίτων; ἄλλο τι ἢ ὁμολογῶμεν;

ΚΡ. 'Ανάγκη, ὦ Σώκρατες.

ΣΩ. Ἄλλο τι οὖν, ἂν φαῖεν, ἢ συνθήκας τὰς πρὸς ἡμᾶς αὐτοὺς καὶ ὁμολογίας παραβαίνεις, οὐχ ὑπὸ ἀνάγκης ὁμολογήσας οὐδὲ ἀπατηθεὶς οὐδὲ ἐν ὀλίγῳ χρόνῳ ἀναγκασθεὶς βουλεύσασθαι, ἀλλ' ἐν ἔτεσιν ἑβδομήκοντα, ἐν οἷς ἐξῆν σοι ἀπιέναι, εἰ μὴ ἠρέσκομεν ἡμεῖς μηδὲ δίκαιαι ἐφαίνοντό σοι αἱ ὁμολογίαι εἶναι. σὺ δὲ οὔτε Λακεδαίμονα προῃροῦ οὔτε Κρήτην, ἃς δὴ ἑκάστοτε φῂς εὐνομεῖσθαι, οὔτε ἄλλην οὐδεμίαν τῶν Ἑλληνίδων πόλεων οὐδὲ τῶν βαρβαρικῶν, ἀλλὰ ἐλάττω ἐξ αὐτῆς ἀπεδήμησας ἢ οἱ χωλοί τε καὶ τυφλοὶ καὶ οἱ ἄλλοι ἀνάπηροι· οὕτω σοι διαφερόντως

me krašte, kadangi tau jisai patiko. Dar teisme tai bylai tebeeinant galima tau buvo pasiskirti ištremties bausmė, ir ką dabar prieš savo krašto valią ketini, tai juk tuomet, pritarus jam, galėjai padaryti. O tuomet didžiai vedeis, tarytum nei rūstauti nerūstaująs, kad ir tektų tau numirti; priešingai, pasirinkai, kaip pats sakeisi, mirtį vieton ištremties. Dabar nebesigėdi nei anų, mat, žodžių, nei bepaisai mūsų, tų instatymų, norėdamas nieku paversti juos; elgiesi taip, kaip ir pikčiausias vergas pasielgtų: gundaisi pabėgti, nebepatūrodamas nei sandoros, nei tų pasižadėjimų, kuriais prieš mus apsiėmei pilietiškai gyventi. Tad pirmiausia mums atsakai, būtent, šitan klausyman: ar tiesą ar netiesą sakome, tarydami, jog tu darà, o ne sakà esi pasižadėjęs mūsų vedama tvarka gyventi“. Ką Kritonai, tarsim tan jų žodin? Ar su juo tik nesutikus?

KRITONAS. Tai sutiktina, Sokratai.

SOKRATAS. „Tad ką?“ — sakytų jie toliau — „tu peržengi tą sandorą, sulygtą su mumis, pasižadėjimus, kuriuos davei neverčiamas, nespirtas ryžtis ant greitųjų, bet per metų juk septynias dešimtis, o tuo tarpu leidžiama tau buvo išsinėšinti kitur, jei mes netikome ir neteisingos sąlygos tau rodėsi. Ag tu nesirinkai nei Lakedaimono, nei Krėtės, nors ir nuolat tuos kraštus giri, kad puikiai tvarkomi esą, nei jokios jau kitos graikų ar barbarų šalies; dar mažiau tu tesijudindavai iš Atėnų, negu šlubiai ir žabaliai ir kiti paliegėliai. Tad prieš

τῶν ἄλλων Ἀθηναίων ἤρεσκεν ἡ πόλις τε καὶ ἡμεῖς οἱ νόμοι δῆλον ὅτι· τίνι γὰρ ἂν πόλις ἀρέσκοι ἄνευ νόμων; νῦν δὲ δὴ οὐκ ἐμμένεις τοῖς ὡμολογημένοις; ἐὰν ἡμῖν γε πείθῃ, ὦ Σώκρατες· καὶ οὐ καταγέλαστός γε ἔσῃ ἐκ τῆς πόλεως ἐξελθών.

XV. Σκόπει γὰρ δή, ταῦτα παραβὰς καὶ ἐξαμαρτάνων τι τούτων τί ἀγαθὸν ἐργάσῃ σαυτὸν ἢ τοὺς ἐπιτηδείους τοὺς σαυτοῦ. ὅτι μὲν γὰρ κινδυνεύσουσί γέ σου οἱ ἐπιτήδειοι καὶ αὐτοὶ φεύγειν καὶ στερηθῆναι τῆς πόλεως ἢ τὴν οὐσίαν ἀπολέσαι, σχεδόν τι δῆλον· αὐτὸς δὲ πρῶτον μὲν ἐὰν εἰς τῶν ἐγγύτατά τινα πόλεων ἔλθῃς, ἢ Θήβαζε ἢ Μέγαράδε — εὐνομοῦνται γὰρ ἀμφότεραι — πολέμιος ἥξεις, ὦ Σώκρατες, τῇ τούτων πολιτείᾳ, καὶ ὅσοιπερ κήδονται τῶν αὑτῶν πόλεων, ὑποβλέψονταί σε διαφθορέα ἡγούμενοι τῶν νόμων, καὶ βεβαιώσεις τοῖς δικασταῖς τὴν δόξαν, ὥστε δοκεῖν ὀρθῶς τὴν δίκην δικάσαι· ὅστις γὰρ νόμων διαφθορεύς ἐστιν, σφόδρα που δόξειεν ἂν νέων γε καὶ ἀνοήτων ἀνθρώπων διαφθορεὺς εἶναι. πότερον οὖν φεύξῃ τάς τε εὐνομουμένας πόλεις καὶ τῶν ἀνδρῶν τοὺς κοσμιωτάτους; καὶ τοῦτο ποιοῦντι ἆρα ἄξιόν σοι ζῆν ἔσται; ἢ πλησιάσεις τούτοις καὶ ἀναισχυντήσεις διαλεγόμενος — τίνας λόγους, ὦ Σώκρατες; ἢ οὕσπερ ἐνθάδε, ὡς ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη πλείστου ἄξιον τοῖς ἀνθρώποις καὶ τὰ νόμιμα καὶ οἱ νόμοι; καὶ οὐκ οἴει ἄσχημον ἂν φανεῖσθαι τὸ τοῦ Σωκράτους πρᾶγμα; οἴεσθαί γε χρή· ἀλλ' ἐκ μὲν τούτων τῶν τόπων

kitus atėniečius daugiau patiko, aišku, tau šis kraštas, na, ir mes, instatymai. Juk kam galėtų tikti kraštas be instatymų! Dabar tu nebenori jau nei to laikyti, kas susitarta? Jei mums, Sokratai, būsi paklusnus, tai ir žmonių nejukinsi išvykimu iš savo krašto.

XV. Ir tikrai tik pagalvoki: peržengęs tą sutartį ir jai kuo nusidėjęs, ką tu gera padarysi sau pačiam ir savo artimiems žmonėms? Kad tavo artimiesiems bus pavojus būti ištremtiems ir savos šalies atsižadėti ar prarasti savo turtas, tai beveik jau aišku. Jei šalin kurion arčiausion nuvyksi, ar Tėbuosin arba Megaron,— abejur geri instatymai, — pirmiausia tu, Sokratai, būsi ten atėjęs priešas jų visuomenės tvarkos, ir tie, kurie tik rūpinas savu kraštu, skersai žiūrės, tave intardami instatymų griovėju: tu sustiprinsi tik girdą teisėjams, kad rodysis teisingai jie išsprendę tavo bylą. Mat, kuris instatymus paverčia niekais, tas, matyti, jau gali jaunuomenę ir žmones neišmanėlius ištvirkinti. Tada gal vengsi tų kraštų, kurių instatymai geri, ir tų žmonių tvarkingų? Jei tatai darysi, tai ar tau beverta bus gyventi? Gal bendrausi tu su jais ir nesigėdysi kalbėti... Bet kuriuos žodžius, Sokratai? Ar kuriuos ir čia kalbėdavai, kad dorybė su teisybe, teisiška tvarka, instatymai yra žmonėms brangiausia? Ir ar nemanai, jog ta Sokrato elgsena bus laikoma nepadoria? Bent taip manyti reikia. Bet iš tų

ἀπαρεῖς, ἥξεις δὲ εἰς Θετταλίαν παρὰ τοὺς ξένους τοὺς Κρίτωνος· ἐκεῖ γὰρ δὴ πλείστη ἀταξία καὶ ἀκολασία, καὶ ἴσως ἂν ἡδέως σου ἀκούοιεν, ὡς γελοίως ἐκ τοῦ δεσμωτηρίου ἀπεδίδρασκες σκευήν τέ τινα περιθέμενος, ἢ διφθέραν λαβὼν ἢ ἄλλα, οἷα δὴ εἰώθασιν ἐνσκευάζεσθαι οἱ ἀποδιδράσκοντες, καὶ τὸ σχῆμα τὸ σαυτοῦ μεταλλάξας· ὅτι δὲ γέρων ἀνήρ, σμικροῦ χρόνου τῷ βίῳ λοιποῦ ὄντος, ὡς τὸ εἰκός, ἐτόλμησας οὕτω γλίσχρως ἐπιθυμεῖν ζῆν, νόμους τοὺς μεγίστους παραβάς, οὐδεὶς ὃς ἐρεῖ; ἴσως ἂν μή τινα λυπῇς· εἰ δὲ μή, ἀκούσῃ, ὦ Σώκρατες, πολλὰ καὶ ἀνάξια σαυτοῦ. ὑπερχόμενος δὴ βιώσῃ πάντας ἀνθρώπους καὶ δουλεύων — τί ποιῶν ἢ εὐωχούμενος ἐν Θετταλίᾳ, ὥσπερ ἐπὶ δεῖπνον ἀποδεδημηκὼς εἰς Θετταλίαν; λόγοι δὲ ἐκεῖνοι οἱ περὶ δικαιοσύνης τε καὶ τῆς ἄλλης ἀρετῆς ποῦ ἡμῖν ἔσονται; ἀλλὰ δὴ τῶν παίδων ἕνεκα βούλει ζῆν, ἵνα αὐτοὺς ἐκθρέψῃς καὶ παιδεύσῃς; τί δέ; εἰς Θετταλίαν αὐτοὺς ἀγαγὼν θρέψεις τε καὶ παιδεύσεις, ξένους ποιήσας, ἵνα καὶ τοῦτό σου ἀπολαύσωσιν; ἢ τοῦτο μὲν οὔ, αὐτοῦ δὲ τρεφόμενοι σοῦ ζῶντος βέλτιον θρέψονται καὶ παιδεύσονται, μὴ συνόντος σοῦ αὐτοῖς; οἱ γὰρ ἐπιτήδειοι οἱ σοὶ ἐπιμελήσονται αὐτῶν. πότερον, ἐὰν μὲν εἰς Θετταλίαν ἀποδημήσῃς, ἐπιμελήσονται, ἐὰν δὲ εἰς Ἅιδου ἀποδημήσῃς, οὐχὶ ἐπιμελήσονται; εἴπερ γέ τι ὄφελος αὐτῶν ἐστιν τῶν σοι φασκόντων ἐπιτηδείων εἶναι, οἴεσθαί γε χρή.

kraštų, sakysime, tu išsinėšinsi ir nukaksi Tessalijon in tuos Kritono prietelius: mat, ten didžiausia netvarka, paleistuvavimas, tad mielu noru gal tave tenai klausytų pasakojant, kaip juokingai tu pabėgai iš kalėjimo, kažinkokiu jau rūbu apsisiautęs, rasit, nusitvėręs kailį ten palaikį ar apsitūlojęs kuo kitu, kaip daro paprastai pabėgėliai, ir savo vaizdą permainęs nebepažįstamai. Kad senas vyras būdamas, kuriam gyventi maža laiko bepaliko, kaip matyti, tu nesidrovėjai taip smalsiai gyvenimo kabintis, peržengęs instatymus didžiausius, — ar jau niekas tau nepasakys? Galbūt ir ne, jei tu neinžeisi kaiko. O esant priešingai, tau teks išgirsti daug ir to, ko nenusipelnei, Sokratai. Insiteikdamas visokiems jau žmonėms, it vergas tu gyvensi. Kas beveikti toj Tessalijoj, negu gardžiai tik valgyti ir gerti, lyg ir pakviestam tenai nuvykus pokylin? O tie pasikalbėjimai apie teisybę ir apie kitas dorybes — kur jie mums bedings? Bet, žinoma, tu nori dėl vaikų gyventi, kad galėtum juos išauklėti, išlavinti. Tad kaipgi? Nusivedęs ton Tessalijon, beauklėdamas ir belavindamas juos tu padarysi prašalaičiais, kad ir to gerumo jie turėtų iš tavęs? Gal ne taip? gal geriau jie bus išauklėti, išlavinti, čiapat beauklėjami, jei tu būsi tebegyvas, nors drauge su jais nebūsi? Tavo prieteliai juk pasirūpins jais. O gal, jeigu Tessalijon nuvykęs būsi, tai jie rūpinsis, jeigu Hadan nuėjęs, tai nebesirūpins? Jei kiek naudos yra iš tų, kurie esą, kaip sakos, tavo prieteliai, tai reikia žodžiais jų tikėti.

XVI. Ἀλλ', ὦ Σώκρατες, πειθόμενος ἡμῖν τοῖς σοῖς τροφεῦσι μήτε παῖδας περὶ πλείονος ποιοῦ μήτε τὸ ζῆν μήτε ἄλλο μηδὲν πρὸ τοῦ δικαίου, ἵνα εἰς Ἅιδου ἐλθὼν ἔχῃς πάντα ταῦτα ἀπολογήσασθαι τοῖς ἐκεῖ ἄρχουσιν· οὔτε γὰρ ἐνθάδε σοι φαίνεται ταῦτα πράττοντι ἄμεινον εἶναι οὐδὲ δικαιότερον οὐδὲ ὁσιώτερον, οὐδὲ ἄλλῳ τῶν σῶν οὐδενί, οὔτε ἐκεῖσε ἀφικομένῳ ἄμεινον ἔσται. ἀλλὰ νῦν μὲν ἠδικημένος ἄπει, ἐὰν ἀπίῃς, οὐχ ὑφ' ἡμῶν τῶν νόμων, ἀλλὰ ὑπ' ἀνθρώπων· ἐὰν δὲ ἐξέλθῃς οὕτως αἰσχρῶς ἀνταδικήσας τε καὶ ἀντικακουργήσας, τὰς σαυτοῦ ὁμολογίας τε καὶ συνθήκας τὰς πρὸς ἡμᾶς παραβὰς καὶ κακὰ ἐργασάμενος τούτους, οὓς ἥκιστα ἔδει, σαυτόν τε καὶ φίλους καὶ πατρίδα καὶ ἡμᾶς, ἡμεῖς τέ σοι χαλεπανοῦμεν ζῶντι, καὶ ἐκεῖ οἱ ἡμέτεροι ἀδελφοί, οἱ ἐν Ἅιδου νόμοι, οὐκ εὐμενῶς σε ὑποδέξονται, εἰδότες ὅτι καὶ ἡμᾶς ἐπεχείρησας ἀπολέσαι τὸ σὸν μέρος. ἀλλὰ μή σε πείσῃ Κρίτων ποιεῖν, ἃ λέγει, μᾶλλον ἢ ἡμεῖς.

XVII. Ταῦτα, ὦ φίλε ἑταῖρε Κρίτων, εὖ ἴσθι, ὅτι ἐγὼ δοκῶ ἀκούειν, ὥσπερ οἱ κορυβαντιῶντες τῶν αὐλῶν δοκοῦσιν ἀκούειν. καὶ ἐν ἐμοὶ αὕτη ἡ ἠχὴ τούτων τῶν λόγων βομβεῖ καὶ ποιεῖ μὴ δύνασθαι τῶν ἄλλων ἀκούειν· ἀλλὰ ἴσθι, ὅσα γε τὰ νῦν ἐμοὶ δοκοῦντα, ἐὰν λέγῃς παρὰ ταῦτα, μάτην ἐρεῖς. ὅμως μέντοι, εἴ τι οἴει πλέον ποιήσειν, λέγε.

XVI. Na, Sokratai, jeigu mums, tiems tavo auklėtojams, paklusnus esi, tad nei vaikų, nei to gyvenimo, nei kito nieko tu nevertinki daugiau užu teisybę, kad, Hadan nuėjęs, tuo visu galėtum pasiteisinti valdovams, esantiems tenai. Agi nei šičia, tau taip darant, rodos, neišeis geran nei tau, nei kam kitam tavųjų, neteisinga bus, nei su dievų valia derės, nei ten nuvykus tau geriau nebus. Dabar tu atsiskirsi su gyvenimu,—jeigu tik skirsies, — nuskaustas ne mūsų, ne instatymų, bet vien žmonių. O jei iš čia pabėgsi, taip begėdiškai neteise atsilyginęs už neteisybę ir piktu už pikta, sulaužęs savo sutartį ir tuos pasižadėjimus, mums duotus, pagaliau pridaręs bloga tiems, kurie mažiausia nusipelnė: sau pačiam ir savo artimiesiems, — tai mes, kol gyvas, pyksime čia ant tavęs, o mūsų broliai, ten instatymai Hade, meilingai nepriims tavęs, žinodami, jog tu norėjai mus paversti niekais, kiek tatai parėjo iš tavęs. Tad žiūrai, kad Kritonas tau neinkalbėtų verčiau daryti tai, ką sako jis, o ne ką mes“.

XVII. Kritonai, drauge mielasai! Tikėk manim, jog aš tariuosi girdįs šitai, kaip tariasi koribantai tebegirdį grojant pučiamus vamzdžius. Ir mano ausyse tų žodžių garsas tebespengia ir neleidžia man girdėti kita ko. Tad būki tikras: jei sakysi priešais tam, kuo bent dabar aš insitikinęs, veltui kalbėsi. Jei tačiau tikiesi ko pasieksiąs, tai kalbėki.

ΚΡ. Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔχω λέγειν.

ΣΩ. Ἔα τοίνυν, ὦ Κρίτων, καὶ πράττωμεν ταύτῃ, ἐπειδὴ ταύτῃ ὁ θεὸς ὑφηγεῖται.

---

54 E

KRITONAS. Ne, Sokratai, neturiu ko bekalbėti.

SOKRATAS. Vadinasi, Kritonai, baigta. Daraime manaip, kadangi tuo keliu ir Dievas veda.
